Merito ergo dictum est apud Solomonem: *Sapientia est in ore fidelium.* Nam Xenocrates quoque, in libro de prudentia, *sapientiam* dicit esse *scientiam primarum causarum, & essentiæ, quæ percipitur intelligentia:* existimans esse duplicem prudentiam, unam quidem, quæ versatur in agendo: alteram, quæ in contemplando, quam quidem esse dicit humanam sapientiam. Quocirca sapientia quidem est prudentia, sed non quævis prudentia est sapientia. Ostensum est autem, principium universorum per fidem sciri, non autem per demonstrationem. Absurdum enim fuerit, Pythagoræ quidem Samii sectatores, rejectis eorum, quæ quærebantur, demonstrationibus, illud, *Ipse dixit*, fidem facere arbitrari, & ad ea, quæ audierunt, confirmanda, hanc vocem satis esse ducere: eos autem, qui contemplandæ veritatis tenentur desiderio, fide digno magistro, soli Servatori Deo, fidem non habere, sed velle eorum, quæ dicuntur, probationes ab eo exigere. Ille autem, Qui habet aures ad audien-

λαλουντος, Εαν ἀγαπησης ἀκουειν, ἐκδεξη· και ἐαν κλινης το οὐς σου, σοφος ἐση.

ϛ. Κυριε, τις ἐπιστευσεν τη ἀκοη ἡμων; Ησαϊας φησιν. Η μεν γαρ πιστις, ἐξ ἀκοης· ἡ δε ἀκοη, δια ῥηματος Θεου, φησιν ὁ Αποστολος. πως ουν ἐπικαλεσονται, εἰς ὀν ουκ ἐπιστευσαν; πως δε πιστευσουσιν, ου ουκ ἡκουσαν; πως δε ἀκουσουσι, χωρις κηρυσσοντος; πως δε κηρυξουσιν, ἐαν μη ἀποσταλωσι; καθως γεγραπται· Ως ὡραιοι οἱ ποδες των εὐαγγελιζομενων τα ἀγαθα; Ορας, πως αναγει την πιστιν δι' ἀκοης, και της των Αποστολων κηρυξεως, ἐπι το ῥημα Κυριου, και τον υἱον του Θεου; ουδ' επω συνιεμεν ἀποδειξιν εἰναι το ῥημα Κυριου. ὡςπερ ουν το σφαιριζειν, ουκ ἐκ του κατα τεχνην πεμποντος την σφαιραν ἠρτηται μονον, ἀλλα και του εὐρυθμως ἀποδεχομενου προσδει αὐτῳ, ἱνα δη κατα νομους τους σφαιριστικους το γυμνασιον ἐκτελειται· ουτω και την διδασκαλιαν ἀξιοπιστον εἰναι συμβεβηκεν, ὁτ' ἀν ἡ πιστις των ἀκροωμενων, τεχνη τις, ὡς εἰπειν, ὑπαρχουσα φυσικη, προς μαθησιν συλλαμβανει.

Συνεργει οὐν και ἡ γονιμος ὑπαρχουσα, προς την των σπερματων καταβολην· ουτε γαρ της ἀριστης παιδευσεως ὀφελος τι, ἀνευ της του μανθανοντος παραδοχης· ουτε μην προφητειας, της των ἀκουοντων εὐπειθειας μη παρουσης. και γαρ τα καρφη τα ξηρα, ἑτοιμα ὀντα καταδεχεσθαι την δυναμιν την καυστικην, ῥᾳον ἐξαπτεται· και ἡ λιθος ἡ θρυλλουμενη, ἑλκει τον σιδηρον δια συγγενειαν· ὡςπερ και το δακρυον το σουχιον ἐπισπαται τα καρφη, και το ἠλεκτρον τας ἀχυρμιας ἀνακινει· πειθεται δε αὐτοις τα ἑλκομενα, ἀρρητῳ ἑλκομενα πνευματι, ουχ ὡς αἰτια, ἀλλ' ὡς συναιτια. Διπλου τοινυν ὀντος του της κακιας εἰδους· του μεν, μετα ἀπατης, και του λανθα-

νειν·

audiendum, *audiat*, dicit. Et quis is? Dicat Epicharmus: *Mens videt, mens audit: reliqua autem sunt surda & cæca*. Aliquos incredulos arguens Heraclitus, dicit: *Audire nescientes, nec dicere*. Adjutus utique a Solomone dicente. *Si dilexeris audire, suscipies: & si inclinaveris aurem tuam, eris sapiens*.

VI. *Domine, quis credidit auditui nostro?* inquit Esaias. *Fides* enim *est ex auditu: auditus autem per verbum Dei*, inquit Apostolus. *Quomodo ergo invocabunt, in quem non crediderunt? Quomodo autem credent ei, quem non audierunt? Quomodo autem audient sine prædicante? Quomodo autem prædicabunt, nisi missi fuerint? Quemadmodum scriptum est: Quam speciosi pedes evangelizantium bona*. Vides, quomodo per auditum, & prædicationem Apostolorum, fidem ad verbum Domini & Filium Dei attollit? Nondum intelligimus demonstrationem esse verbum Domini. Quemadmodum ergo sphæræ lusus, non solum dependet ab eo, qui mittit ex arte sphæram, sed alium etiam requirit, qui illam numerose excipiat, ut ex sphæræ legibus peragatur ludi exercitatio: ita etiam doctrina tum demum fide digna esse cernitur, quando fides eorum, qui audiunt, quæ est ars, ut ita dicam, naturalis, ad eam discendam confert.

Haud aliter adjuvat etiam terra fertilis ad seminum dejectionem. Neque enim optimæ doctrinæ est aliqua utilitas, nisi qui discit, probe eam suscipiat: neque prophetiæ, nisi morem gerant, qui eam audiunt. Quinetiam aridæ festucæ, quæ sunt paratæ ad suscipiendam ignis vim, facilius accenduntur: & lapis vulgo celebratus ferrum trahit propter naturæ cognationem, & lacryma succini attrahit festucas, & electrum commovet paleas. Eis autem parent, quæ trahuntur, occulto quodam spiritu tracta, non ut principales causæ, sed ut adjuvantes. Cum sit ergo duplex vitii genus: unum quidem, quod dolo nos & elan-

νειν· τῦ δὲ, μετα βιας ἀγοντος καὶ φεροντος· ὁ Θειος Λογος κεκραγεν, παντας συλληβδην καλων· εἰδως μεν και μαλιστα τῦς μη πεισθησομενῦς· ὁμως δ' ὀυν, ὁτι ἐφ' ἡμιν το πειθεσθαι τε και μη, ὡς μη ἐχειν ἀγνοιαν προφασισασθαι τινας, δικαιαν την κλησιν πεποιηται, το κατα δυναμιν δὲ ἑκαςου ἀπαιτει. τοις μὲν γαρ, ὁμου τῳ θελειν και το δυνασθαι παρεςιν· ἐκ συνασκησεως ηὐξηκοσι τῦτο. και κεκαθαρμενοις· οἱ δὲ, εἰ και μηπω δυνανται, το βῦλεσθαι ἠδη ἐχῦσιν. ἐργον δὲ το μεν βῦλεσθαι, ψυχης· το πραττειν δὲ, ὐκ ἀνευ σωματος.

Οὐδὲ μην τῳ τελει παραμετρειται μονῳ τα πραγματα, ἀλλα και τῃ ἑκαςου κρινεται προαιρεσει, εἰ ῥαδιως εἱλετο, εἰ ἐφ' οἱς ἡμαρτεν μετενοησεν, εἰ συνεσιν ἐλαβεν ἐφ' οἱς ἐπταισεν, και μετεγνω, ὁπερ ἐςι, μεταταυτα ἐγνω· βραδεια γαρ γνωσις, μετανοια· γνωσις δὲ, ἡ πρωτη ἀναμαρτησια. πιςεως οὐν και ἡ μετανοια κατορθωμα· ἐαν γαρ μη πιςευσῃ ἁμαρτημα εἰναι ᾡ προκατειχετο, οὐδὲ μεταθησεται· κἀν μη πιςευσῃ, κολασιν μεν ἐπηρτησθαι τῳ πλημμελῦντι, σωτηριαν δὲ τῳ κατα τας ἐντολας βιουντι, οὐδ' ὑτως μεταβαλειται. Ηδη δὲ και ἡ ἐλπις, ἐκ πιςεως συνεςηκεν. ὁριζονται γουν οἱ ἀπο Βασιλειδῦς την πιςιν, ψυχης συγκαταθεσιν προς τι των μη κινουντων αἰσθησιν, δια το μη παρειναι. ἐλπις δὲ, προσδοκια κτησεως ἀγαθου. πιςιν δὲ ἀναγκη την προσδοκιαν εἰναι· πιςος δὲ, ὁ ἀπαραβατως τηρητικος των ἐγχειρισθεντων· ἐγχειριζονται δὲ ἡμιν οἱ περι Θεῦ λογοι· και οἱ θειοι λογοι αἱ ἐντολαι, συν τῃ καταπραξει των παραγγελματων. οὑτος ἐςιν ὁ δῦλος ὁ πιςος, ὁ προς τῦ Κυριῦ ἐπαινουμενος. ἐπαν δὲ εἰπῃ, Πιςος ὁ Θεος, ᾡ ἀποφαινομενῳ πιςευειν ἀξιον, μηνυει· ἀποφαι-

νεται

clanculum; alterum autem, quod aperta vi aggreditur & rapit; divinus Logos clamavit, omnes simul vocans; & licet eos certissime noverit, qui non sunt parituri, tamen quoniam in nostra potestate situm est, utrum pareamus, necne, nequis possit causari prætextum ignorantiæ, justam fecit vocationem, & quod præstare possunt uniuscujusque vires, exigit. Nonnullis enim simul adest & velle & posse; ut iis, qui per exercitationem eo pervenerint, & purgati sint. Alii autem, etsi nondum possunt, jam tamen habent velle. Est autem velle quidem, munus animæ: agere autem, non sine corpore.

Neque vero solus finis res dimetitur, sed eæ etiam uniuscujusque electione dijudicantur: si facile elegit, si peccatorum suorum ductus est pœnitentia, si propter ea, in quibus lapsus est, eum remordet conscientia, & errorem recognovit, quod est, *postea cognovit*: est enim tarda cognitio, pœnitentia: cognitio autem, est innocentia ab ipso principio. Fidei ergo opus est pœnitentia. Nisi enim crediderit esse peccatum, quo prius tenebatur, ab eo non dimovebitur: & nisi crediderit, ei quidem, qui relinquit, impendere supplicium: paratam autem esse salutem ei, qui ex præceptis vivit, ne sic quidem mutabitur. Jam autem spes quoque consistit ex fide. Definiunt itaque fidem sectatores Basilidis, animæ assensionem alicui eorum, quæ sensum non movent, propterea quod non adsunt. Spes autem est bonæ possessionis exspectatio. Fidelem autem necesse est esse exspectationem. Fidelis autem est, qui citra transgressionem ea servat, quæ sunt ei tradita. Nobis autem traduntur, quæ de Deo dicuntur, & verba divina, nempe mandata, cum exsecutione præceptorum. Hic est *servus fidelis*, qui laudatur a Domino. Cum autem dixerit, *Fidelis Deus*, eum, cui aliquid declaranti par sit credere, significat: declarat autem Logos

 ejus,

νεται δε ὁ Λογος αὐτῳ, και αὐτος ἀν εἰη πιςος ὁ Θεος. πως οὖν, εἰ το πιςευειν ὑπολαμβανειν ἐςι, βεβαια τα παρ᾽ αὐτων οἱ φιλοσοφοι νομιζουσιν; οὐ γαρ ἐςιν ὑποληψις, ἡ ἑκουσιος προαποδειξεως συγκαταθεσις, ἀλλα συγκαταθεσις ἰσχυρῳ τινι. τις δ᾽ ἀν εἰη δυνατωτερος Θεου; ἡ δε ἀπιςια, ὑποληψις του ἀντικειμενου ἀσθενης ἀποφατικη· καθαπερ ἡ δυσπιςια, ἑξις δυσπαραδεκτος πιςεως. και ἡ μεν πιςις, ὑποληψις ἑκουσιος, και προληψις εὐγνωμονος προκαταληψεως· προσδοκια δε, δοξα μελλοντος· ἡ δε των ἀλλων προσδοκια, δοξα ἀδηλου· πεποιθησις δε, διαληψις βεβαια περι τινος.

Διο πιςευομεν, ᾧ ἀν πεποιθοτες ὠμεν εἰς δοξαν θειαν και σωτηριαν· πεποιθαμεν δε τῳ μονῳ Θεῳ· ὃν γινωσκομεν ὁτι οὐ παραβησεται τα καλως ἡμιν ἐπηγγελμενα, και δια ταυτα δεδημιουργημενα και δεδωρημενα ὑπ᾽ αὐτου ἡμιν εὐνοϊκως. εὐνοια δε ἐςι, βουλησις ἀγαθων ἑτερῳ, ἑνεκεν αὐτου ἐκεινου· ὁ μεν γαρ ἐςιν ἀνενδεης· εἰς ἡμας δε ἡ εὐεργεσια, και ἡ παρα του Κυριου εὐμενεια καταληγει, εὐνοια θεια οὐσα, και εὐνοια προς το εὐποιειν οὐσα. εἰ δε τῳ Αβρααμ πιςευσαντι ἐλογισθη εἰς δικαιοσυνην· σπερμα δε Αβρααμ, ἡμεις· δι᾽ ἀκοης και ἡμιν πιςευτεον. Ισραηλιται γαρ ἡμεις, οἱ μη δια σημειων, δι᾽ ἀκοης δε εὐπειθεις. δια τουτο, Εὐφρανθητι ςειρα, ἡ οὐ τικτουσα· ῥηξον και βοησον, φησιν, ἡ οὐκ ὠδινουσα· ὁτι πολλα τα τεκνα της ἐρημου μαλλον, ἠ της ἐχουσης τον ἀνδρα. Ἐβιωσας εἰς το περιφραγμα του λαου, ἐνευλογηθησαν τα τεκνα σου εἰς τας σκηνας των πατερων. εἰ δε αἱ αὐται μοναι ὑπο της προφητειας ἡμιν τε αὖ και τοις πατριαρχαις καταγγελλονται, εἰς ἀμφοιν ταιν Διαθηκαιν δεικνυται ὁ Θεος. ἐπιφερει γουν σαφεστερον, Εκκληρονομησας την διαθηκην του Ισραηλ, τη ἐξ ἐθνων κλησει, λεγων, τη ςειρα ποτε τουτου του ἀνδρος, ὁς ἐςιν ὁ Λογος, τη ἐρημῳ προτερον του νυμφιου. Ο δε δικαιος ἐκ πιςεως ζησεται, της κατα την Διαθηκην και

τας

ejus, qui etiam fuerit *Deus* ille *fidelis*. Quomodo ergo, si credere est existimare, quæ ab ipsis dicuntur philosophi firma esse putant? Non est enim existimatio, voluntaria demonstrationis præcedentis assensio, sed alicui valido ac potenti assensio. Quis autem Deo fuerit potentior? Infidelitas autem, est oppositi imbecilla ac negativa existimatio: quemadmodum credendi difficultas est habitus, qui fidem difficiliter admittit. Et fides quidem est voluntaria existimatio, & anticipatio prudentis præcomprehensionis. Exspectatio autem est opinio futuri. Et cæteræ quidem exspectationes sunt opiniones de incertis: fiducia autem est firma de aliquo apprehensio.

Quare ei credimus, in quo fiduciam habemus, nos gloriam divinam & salutem consecuturos. In solo autem Deo fiduciam habemus, quem scimus non transgressurum ea, quæ sunt pulchre nobis promissa, quæ cum in hunc finem creata fuerint, ab ipso benevole nobis data sunt. Est autem benevolentia, bene velle alteri illius ipsius gratia. Ille enim nullius indiget: in nos autem desinit beneficentia, & quæ est a Domino benignitas, cum sit plane divina benevolentia, quæque in hoc solum tendit, ut bene faciat. Si autem *Abrahæ, qui credidit, reputatum est ad justitiam*; semen autem Abrahæ sumus nos; per auditum quoque nobis est credendum. Israelitæ enim sumus nos, qui non per signa, sed per auditum credimus. Propterea, *Lætare, sterilis, quæ non paris: erumpe & clama*, inquit, *quæ non parturis; quoniam multi sunt filii desertæ magis quam ejus, quæ habet virum. Vixisti in circuitu populi, benedicti sunt filii tui in tabernaculis patrum tuorum.* Si autem eædem mansiones a prophetia & nobis rursus & Patriarchis annunciantur: ostenditur unum esse Deum utriusque Testamenti. Subjungit itaque manifestius: *Hæreditasti testamentum, Israel*; alloquens eam, quæ est ex Gentibus,

voca-

τας ἐντολας· ἐπειδὴ δυο αὐται ὀνοματι και χρονῳ, καθ' ἡλικιαν και προκοπην οἰκονομικως δεδομεναι, δυναμει μια οὐσαι· ἡ μεν, παλαια· ἡ δε, καινη, δια υἱου παρ' ἑνος Θεου χορηγοονται·

Η και ὁ Αποϛολος ἐν τῃ προς Ρωμαιους Επιϛολῃ λεγει· Δικαιοσυνη γαρ Θεου ἐν αὐτῳ ἀποκαλυπτεται ἐκ πιϛεως εἰς πιϛιν την μιαν, την ἐκ προφητειας εἰς Εὐαγγελιον τετελειωμενην, δι' ἑνος και τȣ αὐτȣ Κυριȣ διδασκων σωτηριαν. Ταυτην, ἐφη, παρατιθεμαι σοι την παραγγελιαν, τεκνον Τιμοθεε, κατα τας προαγȣσας ἐπι σε προφητειας· ἱνα ϛρατευσῃ ἐν αὐταις την καλην ϛρατειαν, ἐχων πιϛιν και ἀγαθην συνειδησιν· ἡν τινες ἀπωσαμενοι, περι την πιϛιν ἐναυαγησαν· ὁτι την θεοθεν ἡκουσαν συνειδησιν, ἀπιϛιᾳ κατεμιαναν. Οὐκ οὐν ἐτ' εἰκοτως προχειρον την πιϛιν διαβλητεον, ὡς εὐκολον τε και πανδημον, και προς ἐτι των τυχοντων. εἰ γαρ ἀνθρωπινον ἠν το ἐπιτηδευμα, ὡς Ελληνες ὑπελαβον, κἀν ἀπεσβη· εἰ δε αὐξει, και οὐκ ἐϛιν ἐνθα ȣκ ἐϛιν. φημι τοινυν την πιϛιν, εἰτε ὑπο ἀγαπης θεμελιωθῃ, εἰτε και ὑπο φοβȣ, ἡ φασιν οἱ κατηγοροι, θειον τι εἰναι· μητε ὑπο ἀλλης φιλιας κοσμικης διασπωμενην, μητε ὑπο φοβου παροντος διαλυομενην. ἡ μεν γαρ ἀγαπη, τῃ προς την πιϛιν φιλιᾳ, τους πιϛους ποιει· ἡ δε πιϛις, ἑδρασμα ἀγαπης, ἀντεπαγȣσα την εὐποιΐαν· ὁτε και τȣ Νομȣ παιδαγωγος φοβος, ἀφ' ὡν πιϛευεται, και φοβος εἰναι πιϛευεται. εἰ γαρ ἐν τῳ ἐνερχειν το εἰναι δεικνυται· ὁ δε μελλων και ἀπειλων, οὐχι δε ἐνεργων και παρων πιϛευεται· και το εἰναι πιϛευομενος, ȣκ αὐτος της πιϛεως γεννητικος, ὁγε προς αὐτης ἀξιοπιϛος εἰναι δοκιμασθεις. Θεια τοινυν ἡ

τοσαυ-

vocationem, quæ erat aliquando ſterilis hujus viri, qui eſt Logos, quæ prius fuerat deſerta a ſponſo. *Juſtus autem ex fide vivet*, ea ſcilicet, quæ ſecundum Teſtamentum & præceptum eſt; quoniam hæc duo nomine & tempore, ſecundum ætatem & profectum providenter data, cum poteſtate quidem unum ſint, illud quidem novum, hoc vero vetus, per Filium ab uno Deo ſuppeditantur.

Qua ratione dicit etiam Apoſtolus in Epiſtola ad Romanos, *Juſtitia enim Dei in ipſo revelatur ex fide in fidem* unam, quæ ex Prophetia perficitur in Evangelio, per unum & eundem Dominum docens ſalutem. *Hoc*, inquit, *præceptum commendo tibi*, *fili Timothee*, *ſecundum præcedentes in te prophetias*, *ut milites in illis bonam militiam*, *habens fidem & bonam conſcientiam*, *quam quidam repellentes*, *circa fidem naufragium fecerunt*; quoniam conſcientiam, quæ a Deo venit, polluerunt infidelitate. Non eſt ergo amplius fides merito temere reprehendenda, ut & facilis & vulgaris, & quæ ſit quorumlibet. Si humanum enim eſſet inventum, ut exiſtimabant Græci, etiam exſtinctum eſſet. Sin autem augetur, & non eſt ubi non eſt; dico ergo fidem, ſive fundata ſit a charitate, ſive etiam a timore; ut dicunt accuſatores, eſſe divinum aliquid; ut quæ neque ab alia mundana amicitia diſtrahatur, neque a timore præſente diſſolvatur. Charitas enim per eam, quæ illi cum fide intercedit, amicitiam facit fideles. Fides autem eſt ſtabilimentum charitatis, viciſſim inducens beneficentiam; quandoquidem etiam timor, qui Legis pædagogus eſt, a quibus credatur, timor eſſe creditur. Si enim in operando, quod is ſit, oſtenditur: hic autem cum futurus eſt & minatur, non autem operans & præſens, creditur; ideo quod eſſe creditur, non ipſe fidem procreat, qui eſſe fide dignus eſt ab ipſa probatus. Hæc ergo tanta mutatio a Deo procedit, qua ſit, ut qui ex infideli-

tate

τοσαυτη μεταβολη, ἐξ ἀπιστιας πιστιν τι γινομενον, και τη ἐλπιδι και τω Φοβω πιστευσαι.

Και δη ἡ πρωτη προς σωτηριαν νευσις, ἡ πιστις ἡμιν αναφαινεται· μεθ' ἡν Φοβος τε και ἐλπις και μετανοια· συν τε ἐγκρατεια και ὑπομονη προκοπτουσαι, ἀγουσιν ἡμας ἐπι τε ἀγαπην, ἐπι τε γνωσιν. εἰκοτως οὐν ὁ Αποστολος Βαρναβας, ΑΦ' ὑ, Φησιν. ἐλαβον μερους, ἐσπουδασα καταμικρον ὑμιν πεμψαι· ἱνα μετα της πιστεως ὑμων τελειαν ἐχητε και την γνωσιν. Της μεν οὐν πιστεως ἡμων εἰσιν οἱ συλληπτορες, Φοβος και ὑπομονη· τα δε συμμαχουντα ἡμιν, μακροθυμια και ἐγκρατεια. τουτων οὐν, Φησι, τα προς τον Κυριον, μενοντων ἁγνως, συνευΦραινονται αὐτοις σοΦια, συνεσις, ἐπιστημη, γνωσις. Στοιχειων γουν της γνωσεως των προειρημενων ἀρετων, στοιχειωδεστεραν εἰναι συμβεβηκε την πιστιν, οὑτως ἀναγκαιαν τω γνωστικω ὑπαρχουσαν, ὡς τω κατα τον κοσμον τονδε βιουντι, προς το ζην το ἀναπνειν. ὡς δ' ἀνευ των τεσσαρων στοιχειων οὐκ ἐστι ζην, οὐδ' ἀνευ πιστεως γνωσιν ἐπακολουθησαι. αὑτη τοινυν κρηπις ἀληθειας.

ζ. Οἱ δε του Φοβου κατηγορουντες, κατατρεχουσι του Νομου. εἰ δε του Νομου, δηλον που ὡς και του δεδωκοτος τον Νομον Θεου. τρια γαρ ταυτα ἐξ ἀναγκης ὑΦεστηκεν παρα το ὑποκειμενον, ὁ διοικων, ἡ διοικησις, το διοικουμενον. εἰ γουν καθ' ὑποθεσιν ἐξελοιεν τον Νομον, ἀναγκη δηπου ἑκαστον, ὁς ἀγεται ὑπο ἐπιθυμιας, ἡδονη χαριζομενον, ἀμελειν μεν του καλως ἐχοντος, ὑπερΦρονειν δε του Θειου ἀσεβειν δε ἁμα και ἀδικειν ἀδεως, ἀποσκιρτησαντα της ἀληθειας. ναι, Φασιν, ἀλογος ἐκκλισις ὁ Φοβος ἐστι, και παθος. τι συ λεγεις; και πως ἀν σοι ἐτι σωζοιτο οὑτος ὁ ὁρος, δια Λογου δοθεισης μοι της ἐντολης· ἐντολη δε ἀπαγορευει τον Φοβον, ἐπαρτωσα δια παιδειαν τον οὑτως ἐπιδεχομενον νουθετειεσθαι. οὐ

τοινυν

tate fidelis factus fuerit, ſpem quoque & timorem, ut res fide dignas, amplectatur.

At prima quidem ad ſalutem eſſe inclinatio nobis fides apparet, poſtquam timor & ſpes & pœnitentia, cum continentia & tolerantia proficientes, nos ducunt ad charitatem & ad cognitionem. Merito ergo Barnabas Apoſtolus, *Ex ea, quam accepi*, inquit, *parte ſtudui paulatim ad vos mittere, ut cum fide veſtra perfectam etiam habeatis cognitionem. Fidei ergo noſtræ coadjutores ſunt timor & tolerantia: quæ autem nobis opem ferunt, ſunt longanimitas & continentia. His ergo*, inquit, *in iis, quæ ad Dominum pertinent, caſte manentibus, una cum eis lætantur ſapientia, intelligentia, ſcientia, cognitio.* Cum itaque prius dictæ virtutes ſint elementa cognitionis, evenit, ut fides ſit magis elementaris, nec minus homini Gnoſtico neceſſaria, quam ei, qui in hoc mundo vivit, ad vivendum reſpiratio. Ut autem abſque quatuor elementis non poſſumus vivere; ita nec abſque fide poſſumus aſſequi cognitionem. Hæc eſt ergo baſis veritatis.

VII. Qui timorem autem accuſant, Legem inſectantur. Quod ſi Legem, clarum eſt, quod illum quoque, qui Legem dedit. Hæc enim tria neceſſe eſt conſiſtant in ſubjecto: is qui adminiſtrat, adminiſtratio, & id quod adminiſtratur. Si ergo Legem ſupponant eſſe tollendam, neceſſe eſt utique, ut unusquisque, qui ducitur a cupiditate, voluptati obſequens, id quidem, quod recte honeſteque ſe habet, negligat, Deum autem deſpiciat, abſque metu autem ſimul ſit impius & injuſtus, & a veritate penitus exſiliat. At certe, inquiunt, timor eſt a ratione aliena declinatio, & animi perturbatio. Quid tu dicis? & quomodo tibi amplius ſervari poſſit hæc definitio, cum præceptum mihi per Logon, ſeu *rationem*, datum ſit? Præceptum autem timorem pronuntiat per diſciplinam, eum, qui id ſuſcipit, parans ut corrigatur.

τοινυν ἀλογος ὁ Φοβος· λογικος μεν οὐν· πως γαρ οὐ παραινων, Οὐ Φονευσεις, Οὐ μοιχευσεις, Οὐ κλεψεις, Οὐ ψευδομαρτυρησεις. ἀλλ' εἰ σοφιζονται τα ὀνοματα, εὐλαβειαν καλουντων οἱ Φιλοσοφοι τον του Νομου Φοβον, εὐλογον οὐσαν ἐκκλισιν. ὀνοματομαχους τουτους οὐκ ἀποτροπου ὁ Φασηλιτης ἐκαλει Κριτολαος. ἀςεια μεν οὐν ἠδη και καλλιςη πεφηνε τοις ἐγκαλουσιν ἡμιν ἡ ἐντολη, ὀνοματος ἐναλλαγῃ νοηθεισα. ἡ οὐν εὐλαβεια, λογικη δεικνυται, του βλαπτοντος ἐκκλισις οὐσα· ἐξ ἡς ἡ μετανοια των προημαρτημενων φυεται. Αρχη γαρ σοφιας, Φοβος Κυριου· συνεσις δε ἀγαθη πασι τοις ποιουσι αὐτην. την σοφιαν λεγει ποιησιν, ἡ ἐςι φοβος Θεου, ὁδοποιων εἰς σοφιαν. εἰ δε ὁ Νομος φοβου ἐμποιητικος, ἀρχη σοφιας γνωσις Νομου· και οὐκ ἐςιν ἀνευ Νομου σοφος. ἀσοφοι τοινυν οἱ παραιτουμενοι τον Νομον· ᾧ ἑπεται ἀθεους αὐτους λογιζεσθαι. παιδεια δε, ἀρχη σοφια. Σοφιαν δε και παιδειαν ἀσεβεις ἐξουθενησουσιν, λεγει ἡ Γραφη.

Τινα δε τα φοβερα ὁ Νομος καταγγελλει, θεασωμεθα. εἰ μεν τα μεταξυ ἀρετης και κακιας, οἱον πενιαν, και νοσον, και ἀδοξιαν, και δυσγενειαν, και ὁσα παραπλησια· ταυτα μεν και οἱ κατα πολιν νομοι προτεινοντες, ἐπαινουνται· και τοις ἐκ Περιπατε τρια γενη των ἀγαθων εἰσηγουμενοις, και τα τετων ἐναντια λογιζομενοις εἰναι κακα, ἁρμονιος ἡδε ἡ δοξα· ἡμιν δε ὁ δοθεις νομος τα τῳ ὀντι κακα ἀποφευγειν προςαττει, μοιχειαν, ἀσελγειαν, παιδεραςιαν, ἀγνοιαν, ἀδικιαν, νοσον ψυχης, θανατον· ἐ τον διαλυοντα ψυχην ἀπο σωματος, ἀλλα τον διαλυοντα ψυχην ἀπο ἀληθειας· δεινοι γαρ

και

gatur. Non est ergo timor a ratione alienus: est itaque rationi consentaneus. Quid ni enim? cum adhortetur, *Non occides, non mœchaberis, non furaberis, non falsum dices testimonium.* Sed si nomina argute excogitare velint, εὐλάβειαν, id est, *cautionem*, per me licet vocent Legis timorem philosophi, quæ est consentanea rationi declinatio. Hos Critolaus Phaselites non inepte vocavit ὀνοματομάχους, id est, qui *depugnant de nominibus.* Pulchrum ergo, atque adeo pulcherrimum, iis, qui nos accusant, præceptum apparuit, excogitata mutatione nominis. Cautio ergo esse rationi consentanea ostenditur, cum sit ejus, quod lædit, declinatio: ex qua exoritur eorum, quæ præcesserunt, peccatorum pœnitentia. *Principium enim sapientiæ est timor Domini. Intellectus autem bonus omnibus facientibus eum.* Sapientiam vocat effectionem, quæ est timor Domini, deducens ad Sapientiam. Si autem Lex affert timorem, principium sapientiæ est Legis cognitio, & non est sapiens absque lege. Insipientes ergo sunt, qui Legem recusant: cui est consequens, ut ipsi reputentur ἄθεοι, seu *impii.* Disciplina autem est principium sapientiæ. *Sapientiam autem & disciplinam impii nihili pendent*, ait Scriptura.

Videamus autem, quænam esse timenda Lex annunciet. Si ea quidem, quæ sunt media inter virtutem & vitium, ut paupertatem, & morbum, & ignominiam, & ignobilitatem: & quæ sunt his similia; hæc quidem pleræque civitatum leges proponentes laudantur: & Peripateticis, qui tria bonorum genera introducunt, & eorum contraria mala esse reputant, ea conformis est opinio. Nobis autem data lex ea, quæ vere mala sunt, jubet fugere, adulterium, petulantiam, puerorum amorem, ignorantiam, injustitiam, morbum animæ, mortem; non eam, quæ solvit animam a corpore; sed eam, quæ animam dissolvit a veritate. Hæc sunt enim vere gravia & ti-

και φοβεραι τῳ ὀντι κακιαι αὑται, και αἱ ἀπο τουτων ἐνεργειαι. Οὐ μην ἀδικως ἐκτεινεσθαι δικτυα πτερωτοις, λεγυσιν οἱ χρησμοι οἱ θειοι· αὐτοι γαρ αἱματων μετιχοντες, θησαυριζουσιν ἑαυτοις κακα. πως οὐν ἐτι οὐκ ἀγαθος ὁ Νομος προς τινων αἱρεσεων λεγεται, ἐπιβοωμενων τον Αποςολον λεγοντα, Δια γαρ Νομυ γνωσις ἁμαρτιας; προς οὑς φαμεν, Ο Νομος οὐκ ἐποιησεν, ἀλλ' ἐδειξεν την ἁμαρτιαν. προςαξας γαρ ἁ ποιητεον, ἠλεγξε τα μη ποιητεα. ἀγαθου δε, το μεν σωτηριον ἐκδιδαξαι, το δε δηλητηριον ἐπιδειξαι· και τῳ μεν, χρησθαι συμβυλευσαι· το δε, ἀποφυγειν κελευσαι.

Αὐτικα ὁ Αποςολος, ὀν ὐ συνιεισι, γνωσιν εἰπεν ἁμαρτιας δια Νομυ πεφανερωσθαι, ὐχι ὑποςασιν εἰληφεναι. πως δ' ὐκ ἀγαθος ὁ παιδευων Νομος, ὁ παιδαγωγος εἰς Χριςον δοθεις, ἰνα δη ἐπιςρεψωμεν, δια φοβυ παιδευτικως κατευθυνομενοι, προς την δια Χριςου τελειωσιν; Οὐ βυλομαι, φησιν, τον θανατον τυ ἁμαρτωλυ, ὡς την μετανοιαν αὐτυ. μετανοιαν δε ἐντολη ποιει, κωλυτικη μεν των μη ποιητεων, ἐπαγγελτικη δε των εὐεργεσιων. θανατον δε, οἰμαι, την ἀγνοιαν λεγει. Και ὁ ἐγγυς Κυριυ, πληρης μαςιγων· ὁ συνεγγιζων δηλονοτι τῃ γνωσει, κινδυνων, φοβων, ἀνιων, θλιψεων, δια τον ποθον της ἀληθειας ἀπολαυει· Υἱος γαρ πεπαιδευμενος, σοφος ἀπεβη· και διεσωθη ἀπο καυματος, υἱος νοημων. υἱος δε νοημων, δεξεται ἐντολας. και Βαρναβας ὁ Αποςολος, Οὐαι οἱ συνετοι παρ' ἑαυτοις, και ἐνωπιον αὐτων ἐπιςημονες, προςαξας, ἐπηγαγεν· Πνευματικοι γενωμεθα, ναος τελειος τῳ Θεῳ· ἐφ' ὁσον ἐςιν ἐφ' ἡμιν, μελετωμεν τον φοβον τυ Θευ, και φυλασσειν ἀγωνιζωμεθα τας ἐντολας αὐτυ· ἰνα ἐν τοις δικαιωμασιν αὐτυ εὐφρανθωμεν. ὁθεν, Αρχη σοφιας, φοβος Θεου, θειως λελεκται.

η. Ενταυθα οἱ ἀμφι τον Βασιλειδην, τουτο ἐξηγουμενοι το ῥητον, "αὐτον φασιν Αρχοντα, ἐπακουσαντα

την

menda vitia, & quæ ex eis proficiſcuntur operationes. *Verumenimvero non injuſte pennatis tendi retia*; dicunt divina reſponſa. *Ipſi enim dum ſunt ſanguinum participes, mala ſibi recondunt.* Quomodo ergo a nonnullis hæreſibus Lex adhuc mala dicitur, vociferantibus dicere Apoſtolum: *Per Legem enim cognitio peccati?* Quibus dicimus: Lex peccatum non fecit, ſed oſtendit. Cum enim ea, quæ ſunt facienda, juſſerit, reprehendit ea, quæ non facienda. Boni autem eſt, id, quod ſalutare quidem eſt, docere; quod exitiale autem, oſtendere: & illo quidem uti conſulere, hoc vero jubere fugere.

Jam Apoſtolus, quem non intelligunt, dixit peccati cognitionem per Legem eſſe manifeſtatam, non autem accepiſſe ſubſtantiam. Quomodo autem non eſt bona Lex caſtigans, quæ data eſt *pædagogus ad Chriſtum*, ut dum per timoris caſtigationem dirigimur, ad eam, quæ eſt per Chriſtum, perfectionem convertamur? *Nolo*, inquit; *mortem peccatoris, ſed ejus pœnitentiam.* Pœnitentiam autem efficit præceptum, quod ea quidem prohibet, quæ non ſunt facienda, benefacta autem mandat. *Mortem* autem, ut arbitror, dicit ignorantiam. *Et qui eſt prope Dominum, eſt plenus flagellis.* Qui cognitioni ſcilicet appropinquat, periculis, timoribus, moleſtiis, afflictionibus utitur, propter deſiderium veritatis. *Filius enim caſtigatus evaſit ſapiens, & ſervatus eſt ab æſtu filius intelligens. Filius autem intelligens ſuſcipiet præcepta.* Et Barnabas Apoſtolus, *Væ qui ſunt intelligentes apud ſeipſos, & coram ſe ſcientes*, cum dixiſſet, ſubjunxit: *Efficiamur ſpiritales, templum Deo perfectum; quatenus eſt in nobis, Dei timorem meditemur, & ejus præcepta ſervare contendamus, ut lætemur in ejus juſtificationibus.* Unde *ſapientiæ principium timor Dei* divine dictus eſt.

VIII. Hic Baſilidis ſectatores hoc dictum exponentes, "dicunt ipſum Principem, cum exaudiiſſet di-

„ την φασιν τȣ διακονȣμενου Πνευματος, ἐκπλαγηναι
„ τῳ τε ἀκουσματι και τῳ θεαματι, παρ' ἐλπιδας εὐ-
„ ηγγελισμενον· και την ἐκπληξιν αὐτȣ, φοβον κληθη-
„ ναι, ἀρχην γενομενον σοφιας φυλοκρινητικης τε, και δια-
„ κριτικης, και τελειωτικης, και ἀποκαταςατικης· οὐ γαρ
„ μονον τον κοσμον, ἀλλα και την ἐκλογην διακρινας, ὁ
„ ἐπι πασι προπεμπει." Εοικε δε και Οὐαλεντινος ἐν
τινι ἐπιςολῃ τοιαυτα τινα ἐν νῳ λαβων· αὐταις γαρ γρα-
φει ταις λεξεσι· "Και ὡς περιφοβος ἐπ' ἐκεινου τȣ πλασ-
„ ματος ὑπηρξε τοις ἀγγελοις, ὁτε μειζονα ἐφθεγξατο της
„ πλασεως, δια τον ἀορατως ἐν αὐτῳ σπερμα δεδωκο-
„ τα της ἀνωθεν οὐσιας, και παῤῥησιαζομενον· οὑτω και
„ ἐν ταις γενεαις των κοσμικων ἀνθρωπων, φοβοι τα ἐρ-
„ γα των ἀνθρωπων τοις ποιουσιν ἐγενετο, οἱον ἀνδριαν-
„ τες και εἰκονες. και παντων αἱ χειρες ἀνυουσιν εἰς ὀνο-
„ μα Θεου· εἰς γαρ ὀνομα ἀνθρωπου πλασθεις Αδαμ,
„ φοβον παρεσχεν προοντος ἀνθρωπου, ὡς δη αὐτου ἐν
„ αὐτῳ καθεςωτος, και κατεπλαγησαν, και ταχυ το
„ ἐργον ἠφανισαν." Μιας δ' οὐσης ἀρχης, ὡς δειχθη-
σεται ὑςερον, τερετισματα και μινυρισματα ἀναπλασ-
σοντες αἰδε οἱ ἀνδρες φανησονται·

Επειδη δε ἐκ Νομου και προφητων προπαιδευεσθαι
δια Κυριου, τῳ Θεῳ συμφερειν ἐδοξεν, ἀρχη σοφιας φο-
βος εἰρηται Κυριου, παρα Κυριου δια Μωϋσεως δοθεις
τοις ἀπειθουσι και σκληροκαρδιοις. οὑς γαρ οὐχ αἱρει λο-
γος, τιθασσευει τουτους φοβος. ὁ και προϊδων ἀνωθεν ὁ
παιδευων Λογος, ἑκατερῳ των τροπων ἐκκαθαιρων, οἰ-
κειως εἰς θεοσεβειαν ἡρμοσεν ὀργανον. ἐςι μεν οὐν ἡ μεν
ἐκπληξις, φοβος ἐκ φαντασιας ἀσυνηθους· ἡ ἐπ' ἀπροσ-
δοκητῳ φαντασιᾳ, ἁτε και ἀγγελιας· φοβος δε, ὡς γε-
γονοτι, ἡ ὀντι, ἡ θαυμασιοτης ὑπερβαλλουσα. οὐ συνο-
ρωσι τοινυν ἐμπαθη ποιησαντες δι' ἐκπληξεως, τον μεγι-
ςον και προς αὐτων ἀνυμνουμενον Θεον, και προ γε της

ἐκπλη-

„ ctionem Spiritus, qui ministrabatur, auditione &
„ spectaculo fuisse obstupefactum, cum ei præter spem
„ annunciatum esset Evangelium: & ejus obstupefactio-
„ nem appellatam esse timorem, qui fuit principium
„ sapientiæ generа dijudicantis, & discernentis, & per-
„ ficientis, & restituentis. Cum enim non solum mun-
„ dum, sed etiam electionem discrevisset, qui omnibus
„ præest, emittit." Videtur autem Valentinus quoque in quadam epistola talia quædam mente apprehendisse. His enim verbis scribit: "Et sic ex illo figmen-
„ to terrore affectus fuit auctor Angelorum, quando
„ majora elocutus est, quam quæ convenirent effictio-
„ ni, propter eum, qui in ipso inspectabiliter dede-
„ rat semen supernæ essentiæ, & libere loquebatur.
„ Ita etiam in mundanorum hominum generationibus,
„ timores fuerunt opera hominum iis, qui ea facie-
„ bant, quemadmodum statuæ & imagines: & om-
„ nium manus efficiunt in nomine Dei; in nomine
„ enim hominis formatus Adam, timorem præbuit
„ ejus, qui prius erat, hominis, ut qui ipse esset in
„ ipso constitutus, & obstupuerunt, & opus cito abo-
„ leverunt." Sed cum sit unum principium, ut ostendetur paulo post, canoras quasdam nugas & figmenta videbuntur isti homines effingere.

Quoniam autem a Lege & Prophetis prius erudiri per Dominum, utile esse Deo visum est, *principium sapientiæ* dictus est *timor Domini*, qui a Domino per Mosen datus est iis, qui non obediunt, & qui sunt duri corde. Quos enim non expugnat ratio, eos mansuefacit metus. Quod quidem cum a principio prævidisset Logos, qui erudit, utroque modo eos expurgans, ad pietatem convenienter concinnavit instrumentum. Est igitur obstupefactio, timor ex insueta repræsentatione, vel propter inexspectatam repræsentationem, ut verbi causa, alicujus nuncii. Timor autem est insignis admiratio, tanquam ob id, quod

ἐκπλήξεως, ἐν ἀγνοίᾳ γενόμενον. εἰ δὴ ἀγνοια προκατῆρξε της ἐκπλήξεως· εἰ δ' ἡ ἐκπληξις, και ὁ φοβος ἀρχη σοφιας, φοβος τȣ Θεȣ γεγεννηται, κινδυνευει της τε σοφιας τȣ Θεȣ και της κοσμοποιΐας ἁπασης, ἀλλα και της ἀποκαταστασεως αὐτης, της τε ἐκλογης ἀγνοια προκαταρχειν αἰτιωδης. ποτερον ȣν των καλων, ἡ φαυλων ἡ αγνοια; ἀλλ' εἰ μεν των καλων, τι παυεται ἐκπληξει; και παρελκει ὁ διακονος αὐτοις, και το κηρυγμα, και το βαπτισμα· εἰ δε των φαυλων, πως των καλλιστων αἰτιον το κακον; εἰ μη γαρ προϋπηρχεν ἀγνοια, ȣν ἀν ὁ διακονος κατηλθεν· ȣδ' ἀν ἐκπληξις εἱλε τον Αρχοντα, ὡς αὐτοι λεγουσιν· οὐδ' ἀν ἀρχην σοφιας ἐκ τȣ φοβȣ ἐλαβεν εἰς την φυλοκρινησιν της τε ἐκλογης, των τε κοσμικων. εἰ δε ὁ φοβος τȣ προοντος ἀνθρωπȣ ἐπιβουλȣς τȣ σφετερου πλασματος πεποιηκε τȣς ἀγγελους, ὡς ἐνιδρυμενου τῳ δημιȣργηματι ἀορατȣ τȣ σπερματος της ἀνωθεν οὐσιας, ἡ ὑπολη ψει κενη παρεζηλωσαν, ὁπερ ἀπιθανον, ἀγγελους δημιουργιας ἡς ἐπιστευθησαν, οἱον τεκνου τινος, αὐθεντας γενεσθαι, ἀγνοιαν πασαν κατεγνωσμενȣς· ἡ προγνωσει ἐνεχομενοι κεκινηνται· ἀλλ' οὐκ ἀν ἐπεβουλευσαν δι' ȣ ἐπεχειρησαν, ὡ προεγνωσαν· οὐδ' ἀν κατεπλαγησαν το ἐργον το αὐτων ἐκ προγνωσεως το ἀνωθεν σπερμα νενοηκοτες· ἡ το τελευταιον γνωσει πεποιθοτες ἐτολμησαν· ὁ και αὐτο ἀδυνατον; μαθοντες το διαφερον το ἐν πληρωματι ἀνθρωπῳ ἐπιβουλευειν.

Ετι και το κατ' εἰκονα, ἐν ᾡ και το ἀρχετυπον, και ὁ συν τη γνωσει τη λοιπη ἀφθαρτον, παρειληφεισαν. Τȣτοις τε οὐν αὐτοις και ἑτεροις τισι, μαλιστα δε τοις

ἀπο

quod vel exſtitit, vel eſt. Non animadverterunt itaque ſe affectionibus ac perturbationibus feciſſe obnoxium, maximum, & qui ab eis celebratur, Deum, per obſtupefactionem, & ante obſtupefactionem verſatum eſſe in ignoratione, ſi quidem ignoratio fuit ante obſtupefactionem. Si autem obſtupefactio, & timor ſapientiæ principium, timor Dei fuit, videndum eſt, ne & ante Dei ſapientiam & totius mundi creationem, quinetiam reſtitutionem & ipſam electionem cauſa, quæ præceſſit, fuerit ignoratio. Utrum ergo rerum bonarum, aut malarum eſt ignoratio? Sed ſi rerum quidem bonarum, quid ceſſat obſtupefactione? & fruſtra eſt eis & miniſter, & prædicatio, & baptiſma. Sin autem malarum, quomodo eſt malum cauſa rerum optimarum? Si enim non prior fuiſſet ignoratio, non deſcendiſſet miniſter. Sed nec obſtupefactio cepiſſet Principem, ut ipſi dicunt: neque ſapientiæ principium cepiſſet ex timore ad electionem & mundana dijudicanda. Si autem metus ejus, qui prius erat, hominis, fecit ut ſuo figmento inſidiarentur Angeli, utpote quod inaſpectabile ſupernæ ſubſtantiæ ſemen collocaretur intus in opificio, aut ex inani opinione, quod quidem eſt incredibile, æmulatione perciti ſunt in Angelos, propter opificium, cujus tanquam filii alicujus crediti ſunt eſſe auctores, adeo ut nulla non in eos cadat ignorantia: aut moti ſunt cum tenerentur præſcientia; ſed non inſidiati eſſent iſto conatu ei, quod præſciverunt, neque ob ſuum opus obſtupefacti eſſent, cum ex præſcientia ſemen ſupernum intellexiſſent: aut poſtremo freti cognitione auſi ſunt, quod ipſum quoque non poteſt fieri, cum didiciſſent id, quod eſt in pleromate excellens, homini inſidiari.

Præterea & id, quod eſt factum ad imaginem, in quo etiam exiſtit exemplar, & id, quod cum reliqua cognitione eſt ab interitu alienum, aſſumpſerunt.

His ergo ipsis, & aliquibus aliis, maxime autem Marcionistis, non audientibus clamat Scriptura: *Qui autem me audit, requiescet in pace confidens, & sine metu cessabit ab omni malo.* Quid ergo hi Legem esse volunt? Malam quidem non inquient, sed justam, bonum a justo distinguentes. Dominus autem cum jubet timere malum, non malum malo liberat, sed dissolvit contrarium contrario. Bono autem malum est contrarium, ut justum injusto. Si ergo malorum dixit principium metus vacuitatem, quam facit Domini timor: timor bonum est, & qui est ex Lege metus, non solum est justus, sed etiam bonus, ut qui auferat vitium: metu autem inducens metus vacuitatem, non animi perturbatione perturbationum vacuitatem, sed disciplina ingenerat affectionum moderationem. Cum itaque audierimus, *Honora Dominum, & eris fortis: præter ipsum autem ne time alium:* timere peccatum, sequi autem, quæ a Deo data sunt, præcepta, honorem esse, a Deo ipso accipimus. Δέος autem est Dei metus. Sed etsi timor sit passio, ut volunt aliqui timorem esse passionem, non est quivis metus passio. Superstitio quidem est passio, ut quæ sit dæmonum metus, qui passionibus susque deque feruntur & agitantur: e contra igitur Dei impatibilis metus est impatibilis: timet enim quis non Deum, sed a Deo excidere. Qui autem hoc veretur, nempe ne in mala incidat, mala timet & veretur: qui autem timet ne cadat, esse se ab interitu alienum vult & impatibilem. *Sapiens timens declinavit a malo: insipiens autem confidens aggreditur*, ait Scriptura. Et rursus: *In timore Domini est*, inquit, *spes fortitudinis.*

IX. Deducit ergo talis metus & ad pœnitentiam, & ad spem. Spes autem est exspectatio bonorum, vel absentis boni bona speratio. Certe casus quoque vel ad bonam spem assumitur, quam ad charitatem deducere didicimus. Charitas autem fuerit consensio

κατα τον λογον και τον βιον και τον τροπον· ἡ, συνελοντι φαναι, κοινωνια βιȣ· ἡ ἐκτενεια φιλιας και φιλοςοργιας μετα λογου ὀρθου, περι χρησιν ἑταιρων. ὁ δὲ ἑταιρος, ἑτερος ἐγω. ἡ και ἀδελφους τους τῳ αὐτῳ λογῳ ἀναγεννηθεντας προςαγορευομεν. παρακειται δὲ τῃ ἀγαπῃ ἡ τε φιλοξενια, φιλοτεχνια τις οὖσα περι χρησιν ξενων· ξενοι δὲ, ὧν ξενα τα κοσμικα· κοσμικους γαρ, τους εἰς γην ἐλπιζοντας και τας σαρκικας ἐπιθυμιας, ἐξακουομεν· Μη συσχηματιζεσθε, φησιν ὁ Αποςολος, τῳ αἰωνι τουτῳ, ἀλλα μεταμορφουσθε τῃ ἀνακαινωσει τȣ νοος, εἰς το δοκιμαζειν ὑμας τι το θελημα τȣ Θεȣ το ἀγαθον, και εὐαρεςον, και τελειον. ἀναςρεψει τοινυν ἡ φιλοξενια περι το ὠφελιμον τοις ξενοις· ξενοι δὲ, οἱ ἐπιξενοι· ἐπιξενοι δὲ, οἱ φιλοι· φιλοι δὲ, οἱ ἀδελφοι· Φιλε κασιγνητε, φησιν Ομηρος· ἡτε φιλανθρωπια, δι' ἡν και ἡ φιλοςοργια, φιλικη χρησις ἀνθρωπων ὑπαρχȣσα· ἡ τε φιλοςοργια, φιλοτεχνια τις ȣσα περι ςερξιν φιλων ἡ οἰκειων, συμπαρομαρτȣσιν ἀγαπῃ. εἰ δὲ τῳ ὀντι ἀνθρωπος ὁ ἐν ἡμιν ἐςιν ὁ πνευματικος, φιλαδελφια ἡ φιλανθρωπια, τοις τȣ αὐτȣ Πνευματος κεκοινωνηκοσιν. ςερξις δ' αὖ, τηρησις ἐςιν εὐνοιας, ἡ ἀγαπησεως· ἀγαπησις δὲ, ἀποδειξις παντελης· και το ἀγαπασθαι, ἀρεσκεσθαι τῳ ἠθει, ἀγομενον τε και ἀπαγομενον. ἀγονται δὲ εἰς ταυτοτητα δι' ὁμονοιαν, ἐπιςημην ȣσαν κοινων ἀγαθων. και γαρ ἡ ὁμογνωμοσυνη, συμφωνια γνωμων.

Και. Η ἀγαπη, φησιν, ἀνυποκριτος ἐςω ἡμιν αὐτοις. και ἀποςυγȣντες το πονηρον, γινωμεθα κολλωμενοι τῳ ἀγαθῳ, τῃ φιλαδελφιᾳ τε, και τα ἑξης, ἑως, Ει δυνατον, το ἐξ ὑμων, μετα παντων ἀνθρωπων εἰρη-

νευον-

)rum, quæ ſunt in ratione & vita & moribus: aut, : paucis dicam, vitæ ſocietas: vel amicitiæ & bene-)lentiæ perſeverantia cum recta ratione, in uſu nicorum ac familiarium, qui ἑταιροι vocantur (dici- ır autem ἑταιρος, quaſi ἑτερος ἐγω, id eſt, *ego alter*) ıa ratione eos *fratres* appellamus, qui ſunt eodem ɜrbo regenerati. Adhæret autem charitati & hoſpi- .litas, quæ eſt artificioſa amicitiæ ratio circa uſum ɜregrinorum. Peregrini autem ſunt, quibus pere- ·ina ſunt, quæ ſunt mundana. Mundanos enim eos, ıi in terram ſperant, & concupiſcentias carnales, ıtelligimus: *Nolite conformari*, inquit Apoſtolus, *huic culo, ſed transformemini renovatione mentis, ad hoc ut os probetis, quæ ſit voluntas Dei bona, bene placens, & ɜrfecta.* Verſabitur ergo hoſpitalitas in eo, quod eſt tile peregrinis. Peregrini autem ſunt, qui etiam di- untur ἐπιξενοι, ſeu *hoſpitio excepti*: ἐπιξενοι autem ſunt mici: amici autem ſunt fratres. *Frater amice*, in- uit Homerus: & humanitas, per quam fit bona affe- tio, quæ eſt amicus uſus hominum; & ipſa bona af- ɜctio, quæ eſt amicus uſus hominum; & ipſa bona ffectio, quæ eſt quædam artificioſa amicitiæ ratio irca amicorum vel neceſſariorum dilectiones, comi- antur charitatem. Si autem revera homo, qui eſt ı nobis, eſt ſpiritalis, humanitas eſt fraternitas iis, ui ſunt ejuſdem Spiritus participes. Affectio autem urſus eſt conſervatio benevolentiæ, vel dilectionis.)ilectio autem eſt perfecta & abſoluta demonſtratio: & liligi, quod eſt ἀγαπασθαι, eſt placere moribus, duci- ue & abduci. In idem autem ducuntur per conſenſio- ıem, quæ eſt ſcientia communium bonorum. Conſen- io enim, quæ ὁμογνωμοσυνη, eſt conſenſus animorum.

Et, *Non ficta*, inquit, *charitas ſit nobis, & dio habentes malum, adhæreamus bono & fratrum amo- i*, & quæ ſequuntur, uſque ad illud: *Si poſſibile eſt, uantum in vobis eſt, cum omnibus hominibus pacem ha- bentes.*

παντος. ἔπειτα, Μη νικω, λεγει, ὑπο του κακου· ἀλλα νικα ἐν τῳ ἀγαθῳ το κακον. Ιουδαιοις τε ὁ αὐτος Αποστολος μαρτυρειν ὁμολογει, ὁτι ζηλον Θεου ἐχουσιν, ἀλλ' οὐ κατ' ἐπιγνωσιν· ἀγνοουντες γαρ την του Θεου δικαιοσυνην, και την ἰδιαν ζητουντες στησαι, τη δικαιοσυνη του Θεου οὐχ ὑπεταγησαν· οὐ γαρ το βουλημα του Νομου ἐγνωσαν τε και ἐποιησαν· ἀλλ' ὁ ὑπελαβον αὐτοι, τουτο και βουλεσθαι τον Νομον ᾠηθησαν· οὐδ' ὡς προφητευοντι τῳ Νομῳ ἐπιστευσαν, λογῳ δε ψιλῳ· και φοβῳ, ἀλλ' οὐ διαθεσει και πιστει ἠκολουθησαν· τελος γαρ Νομου Χριστος, εἰς δικαιοσυνην, ὁ ὑπο Νομου προφητευθεις, παντι τῳ πιστευοντι. ὁθεν εἰρηται τουτοις παρα Μωϋσεως· Εγω παραζηλωσω ὑμας ἐπ' οὐκ ἐθνει, ἐπ' ἐθνει ἀσυνετῳ παροργιω ὑμας, τῳ εἰς ὑπακοην δηλονοτι εὐτρεπει γενομενῳ. και δια Ησαϊου, Εὑρεθην, λεγει, τοις ἐμε μη ζητουσιν, ἐμφανης ἐγενομην τοις ἐμε μη ἐπερωτωσι· προ της του Κυριου παρουσιας δηλαδη· μεθ' ἣν και τῳ Ισραηλ ἐκεινα τα προφητευθεντα οἰκειως λεγεται νυν, Εξεπετασα τας χειρας μου ὁλην την ἡμεραν, ἐπι λαον ἀπειθουντα και ἀντιλεγοντα. Ορας την αἰτιαν της ἐξ ἐθνων κλησεως, σαφως προς του προφητου ἀπειθειαν του λαου και ἀντιλογιαν εἰρημενην;

Εἰδ' ἡ ἀγαθοτης και ἐπι τουτοις δεικνυται του Θεου· φησι γαρ ὁ Αποστολος· Αλλα τῳ αὐτων παραπτωματι ἡ σωτηρια τοις ἐθνεσιν, εἰς το παραζηλωσαι αὐτους και μετανοησαι βουληθηναι. ὁ Ποιμην δε, ἁπλως ἐπι των κεκοιμημενων θεις την λεξιν, δικαιους οἰδε τινας ἐν ἐθνεσι και ἐν Ιουδαιοις, οὐ μονον προ της του Κυριου παρουσιας, ἀλλα και προ Νομου, κατα την προς Θεον εὐαρεστησιν, ὡς Αβελ, ὡς Νωε, ὡς εἰ τις ἑτερος δικαιος. Φησι γουν, " Τους Αποστολους και διδασκαλους, τους κηρυξαντας το ,, ὀνομα του υἱου του Θεου, και κοιμηθεντας, τη δυναμει ,, και τη πιστει κηρυξαι τοις προκεκοιμημενοις." εἰτα ἐπιφερει· " Και αὐτοι ἐδωκαν αὐτοις την σφραγιδα του κη- ,, ρυγματος. κατεβησαν οὐν μετ' αὐτων εἰς το ὑδωρ, και

,, παλιν

bentes. Deinde: *Ne vincaris*, inquit, *a malo*, *sed vince in bono malum.* Et idem Apostolus fatetur se Judæis *ferre testimonium*, *quod zelum Dei habeant*, *sed non secundum scientiam: ignorantes enim Dei justitiam, & propriam quærentes statuere, Dei justitiæ non fuere subjecti.* Non enim Legis voluntatem cognoverunt & fecerunt, sed quod ipsi existimaverunt, hoc etiam Legem velle putarunt. Neque Legi tanquam prophetiam continenti crediderunt, sed tanquam nudo sermoni: & præ timore, sine affectu & fide, obsecuti sunt. *Finis enim Legis est Christus ad justitiam*, qui est a Lege prædictus, *omni credenti.* Unde eis dictum est a Mose: *Ego æmulatione vos provocabo in non gente, in populo stulto vos ad iram irritabo*, qui fuit scilicet paratus ad obediendum. Et per Esaiam, *Inventus sum*, inquit, *iis, qui me non quærunt: manifestus fui iis, qui me non interrogant:* ante Domini adventum scilicet, post quem Israeli quoque illa, quæ prædicta sunt, convenienter jam dicuntur: *Expandi manus meas toto die ad populum inobedientem & contradicentem.* Vides causam vocationis Gentium aperte a Propheta dictam esse, populi inobedientiam & contradictionem?

Deinde, in hos quoque Dei ostenditur bonitas. Dicit enim Apostolus: *Sed eorum delicto salus Gentibus, ad hoc ut eos ad æmulationem provocaret*, ut & vellent ipsi duci pœnitentia. Pastor autem de iis solis, qui dormiissent, verba faciens, novit quosdam justos in Gentibus & in Judæis, non solum ante adventum Domini, sed etiam ante Legem, qui Deo grati acceptique fuerint, ut Abel, ut Noe, ut si quis alius justus. Dicit ergo, "Apostolos & doctores, qui prædicarunt nomen filii Dei, etiam cum dormiissent, potestate & fide prædicasse iis; qui prius dormierant." Deinde subjungit: "Et ipsi dederunt ipsis signaculum prædicationis. Descenderunt ergo cum ipsis in aquam, & rursus ascenderunt. Sed hi viventes

„ descen-

„ παλιν ἀνεβησαν. ἀλλ᾽ ὑτοι ζωντες κατεβησαν, και
„ παλιν ζωντες ἀνεβησαν· ἐκεινοι δε οἱ προκεκοιμημενοι,
„ νεκροι κατεβησαν, ζωντες δε ἀνεβησαν. δια τυτων ὑν
„ ἐζωοποιηθησαν και ἐπεγνωσαν το ὀνομα τυ υἱυ Θεῦ·
„ δια τυτο και συνανεβησαν μετ᾽ αὐτων, και συνηρμοσαν
„ εἰς την οἰκοδομην τυ πυργυ, και ἀλατομητοι συνῳκοδο-
„ μηθησαν· ἐν δικαιοσυνῃ ἐκοιμηθησαν, και ἐν μεγαλῃ
„ ἁγνειᾳ· μονην δε την σφραγιδα ταυτην ὑκ ἐσχον."
Ὁτ᾽ ἀν γαρ ἐθνη τα μη Νομον ἐχοντα, φυσει τα τυ Νο-
μυ ποιωσιν, ὑτοι Νομον μη ἐχοντες, ἑαυτοις εἰσι νομος,
κατα τον Αποστολον. Ὡς μεν ὑν ἀντακολυθυσιν ἀλλη-
λαις αἱ ἀρεται, τι χρη λεγειν, ἐπιδεδειγμενοι ἠδη, ὡς
πιστις μεν ἐπι μετανοιᾳ ἐλπιζεται, εὐλαβεια δε ἐπι πι-
στει· και ἡ ἐν τυτοις ἐπιμονη τε και ἀσκησις, ἁμα μαθη-
σει συμπεραιυται εἰς ἀγαπην· ἡ δε, τῃ γνωσει τελειυ-
ται;

Εκεινο δε ἐξ ἀναγκης παρασημειωτεον, ὡς μονον το
Θειον, σοφον εἰναι φυσει νομιζεσθαι χρη. διο και ἡ Σοφια
δυναμις Θευ, ἡ διδαξασα την ἀληθειαν· κἀνταυθα πυ
εἰληπται ἡ τελειωσις της γνωσεως. Φιλει δε και ἀγα-
πᾳ την ἀληθειαν ὁ φιλοσοφος, ἐκ τυ θεραπων εἰναι γνη-
σιος, δι᾽ ἀγαπην ἠδη φιλος νομισθεις. ταυτης δε ἀρχη,
το θαυμασαι τα πραγματα, ὡς Πλατων ἐν Θεαιτητῳ
λεγει· και Ματθιας ἐν ταις Παραδοσεσι παραινων, Θαυ-
μασον τα παροντα· βαθμον τυτον πρωτον της ἐπεκεινα
γνωσεως ὑποτιθεμενος. ἡ κἀν τῳ καθ᾽ Εβραιυς Εὐαγγε-
λιῳ, Ο θαυμασας, βασιλευσει, γεγραπται· και ὁ βα-
σιλευσας, ἀναπαυθησεται. ἀδυνατον ὑν τον ἀμαθη,
ἑς᾽ ἀν μενῃ ἀμαθης, φιλοσοφειν· τον γε μη ἐννοιαν σοφιας
εἰληφοτα, φιλοσοφιας ὑσης ὀρεξεως τυ ὀντως ὀντος, και
των εἰς τυτο συντεινοντων μαθηματων. κἀν το ποιειν
καλως ἠτισιν ἐξησκημενον· ἀλλα το ἐπιστασθαι ὡς χρη-
στεον, και ποιητεον, και συνεκπονητεον· καθο και ὁμοιυ-
ται τις Θεῳ· Θεῳ λεγω τῳ Σωτηρι· θεραπευων τον
των ὁλων Θεον δια τυ ἀρχιερεως Λογυ, δι᾽ ὑ καθορατα
τα

„ descenderunt, & rursus viventes ascenderunt: illi
„ autem, qui prius dormierant, mortui descenderunt,
„ vivi autem ascenderunt. Per hos ergo vivificati
„ sunt, & agnoverunt nomen filii Dei, & ideo una
„ quoque cum illis ascenderunt, & una quadrarunt in
„ turris ædificationem, & qui in lapides cæsi non
„ sunt, coædificati sunt. In justitia dormierunt, &
„ in magna puritate. Solum autem hoc signaculum
„ non habebant." *Quando enim Gentes Legem non habentes, natura quæ sunt Legis faciunt, ii Legem non habentes, sibiipsi sunt lex*, ut ait Apostolus. Quod itaque virtutes se invicem consequuntur, quid opus est dicere, cum jam ostenderimus, quod fides quidem sperat propter pœnitentiam, timor autem propter fidem, & quæ in iis est perseverantia & exercitatio, una cum doctrina terminatur in charitate, illa vero perficitur cognitione?

Illud autem necessario adnotandum est, quod solus Deus est intelligendus natura esse sapiens. Quare Sapientia quoque est Dei virtus, quæ docuit veritatem; in qua etiam continetur perfectio cognitionis. Amat autem & diligit veritatem philosophus, ex germano famulo jam propter amorem existimatus amicus. Ejus autem est principium, res admirari, ut dicit Plato in Theæteto: & Matthias adhortans in Traditionibus, *Admirare præsentia*: eum esse primum gradum statuens ulterioris cognitionis. Qua ratione etiam scriptum est in Evangelio secundum Hebræos: *Qui admiratus fuerit, regnabit: & qui regnavit, requiescet.* Fieri ergo non potest, ut philosophetur, qui est rudis & ignarus, quamdiu rudis manet: quippe qui sapientiæ notionem non ceperit, cum philosophia sit ejus, quod vere est, appetitio, & earum, quæ ad id tendunt, disciplinarum. Et quamvis in recte agendo se aliqui exercuerint, ut sciatur tamen quomodo sit utendum, & faciendum, est adlaborandum. Nam in hoc Deo

quoque

τα κατ᾽ ἀληθειαν καλα και δικαια. ευσεβεια ἐςι πραξις ἑπομενη και ἀκολυθος Θεῳ.

ι. Τριων τοινυν τυτων ἀντεχεται ὁ ἡμεδαπος φιλοσοφος· πρωτον μεν, της θεωριας· δευτερον δε, της των ἐντολων ἐπιτελεσεως· τριτον, ἀνδρων ἀγαθων κατασκευης· ἁ δη συνελθοντα, τον γνωςικον ἐπιτελει· ὁ, τι δ᾽ ἀν ἐνδεη τυτων, χωλευει τα της γνωσεως. ὁθεν θειως ἡ Γραφη φησι· Και εἰπεν Κυριος προς Μωϋσην, λεγων· Λαλησον τοις υἱοις Ισραηλ, και ἐρεις προς αὐτυς· Εγω Κυριος ὁ Θεος ὑμων· κατα τα ἐπιτηδευματα γης Αἰγυπτυ, ἐν ᾗ κατῳκησατε ἐν αὐτῃ, ὐ ποιησετε· και κατα ἐπιτηδευματα γης Χανααν, εἰς ἡν ἐγω εἰσαγω ὑμας ἐκει, ὐ ποιησετε· και τοις νομιμοις αὐτων ὐ πορευσεσθε· τα κριματα μυ ποιησετε, και τα προςαγματα μυ φυλαξεσθε· πορευεσθε ἐν αὐτοις· ἐγω Κυριος ὁ Θεος ὑμων. και φυλαξεσθε παντα τα προςαγματα μυ, και ποιησετε αὐτα. ὁ ποιησας αὐτα ἀνθρωπος, ζησεται ἐν αὐτοις. ἐγω Κυριος ὁ Θεος ὑμων.

Εἰτ᾽ ὐν κοσμυ και ἀπατης, εἰτε παθων και κακιων συμβολον Αἰγυπτος και ἡ Χαναντις γη, ὡν μεν ἀφεκτεον, ὁποια δε ἐπιτηδευτεον, ὡς θεια και ὐ κοσμικα, δεικνυσιν ἡμιν το λογιον. ὁταν δε εἰπη, Ο ποιησας ἀνθρωπος, ζησεται ἐν αὐτοις, την τε Εβραιων αὐτων ἐπανορθωσιν, την τε των πελας ἡμων αὐτων συνασκησιν τε και προκοπην, ζωην λεγει αὐτων τε και ἡμων. Οἱ γαρ νεκροι τοις παραπτωμασι, συζωοποιυνται Χριςῳ, δια της ἡμετερας Διαθηκης. πολλακις δε ἐπαναλαμβανυσα ἡ Γραφη, το, Εγω Κυριος ὁ Θεος ὑμων, δυσωπει μεν διατρεπτικωτατα, ἑπεσθαι διδασκυσα τῳ τας ἐντολας δεδωκοτι Θεῳ· ὑπομιμνησκει δε ἠρεμα ζητειν τον Θεον, και ὡς οἱον τε γινωσκειν ἐπιχειρειν· ἡτις ἀν εἰη θεωρια μεγιςη, ἡ ἐποπτικη, ἡ τῳ ὀντι ἐπιςημη, ἡ ἀμεταπτωτος λογῳ

γινομε-

quoque assimilatur aliquis, Deo inquam Servatori, colens Deum universorum per Logon Pontificem, per quem perspiciuntur, quæ in veritate sunt honesta & justa. Pietas enim est actio, quæ Deum sequitur.

X. Hæc ergo tria noster sibi vindicat Philosophus: primum quidem, contemplationem: secundo autem, præceptorum executionem: tertio vero, bonorum virorum constitutionem. Quæ quidem cum convenerint, efficiunt virum Gnosticum. Si quid autem defecerit ex istis, claudicat cognitio. Unde divine dixit Scriptura: *Et dixit Dominus ad Mosen, dicens: Loquere filiis Israel, & dices illis, Ego Dominus Deus vester. Secundum studia terræ Ægypti, in qua habitastis in ea, non facietis, & secundum studia terræ Chanaan, in quam vos ego illuc introduco, non facietis, & in eorum legitimis non incedetis. Judicia mea facietis, & præcepta mea servabitis. Ambulate in eis. Ego Dominus Deus vester. Et servabitis omnia præcepta mea, & facietis ea. Qui fecerit ea homo, vivet in eis. Ego Dominus Deus vester.*

Utrum autem mundi & deceptionis, an animi perturbationum & vitiorum sint symbolum Ægyptus & terra Chanaan, a quibus abstinendum sit, quibus autem rebus danda sit opera, quod divinis potius quam mundanis, nobis ostendit oraculum. Cum autem dicit: *Qui fecerit homo, vivet in eis:* & ipsorum Hebræorum correctionem, & proximorum nostrorum exercitationem & profectum, ipsorum vitam dicit & nostram. *Qui enim sunt mortui delictis, convivificantur Christo*, per nostrum Testamentum. Sæpe autem repetens Scriptura illud: *Ego Dominus Deus vester*, pudore afficiendo pulcherrime hortatur, docens sequi Deum, qui dedit præcepta. Quinetiam tacite commonet, Deum quærere, &, quoad fieri potest, conari cognoscere: quæ quidem fuerit maxima contem-

γυμνη· αὑτη ἀν εἰη ὀντως ἡ της σοφιας γνωσις, ἡς ουδεποτε χωριζεται ἡ δικαιοπραγια.

μη. Αλλ' ἡ μεν των δοκησισοφων, εἰτε αἱρεσεις εἰεν βαρβαρων, εἰτε και των Ἑλληνων φιλοσοφοι, γνωσις φυσιοι κατα τον Αποστολον· επιστημη δε ἡ γνωσις, ἡτις ἀν εἰη ἐπιστημονικη ἀποδειξις των κατα την ἀληθη φιλοσοφιαν παραδιδομενων. συλλογισμον δε ἀν αὐτην λογον εἰναι τοις ἀμφισβητουμενοις, ἐκ των ὁμολογουμενων ἐκποριζοντα την πιστιν. πιστεως δ' ουσης διττης, της μεν, ἐπιστημονικης, της δε, δοξαστικης, ουδεν κωλυει ἀποδειξιν ὀνομαζειν διττην· την μεν, ἐπιστημονικην. την δε, δοξαστικην· ἐπει και ἡ γνωσις και ἡ προγνωσις, διττη λεγεται· ἡ μεν, ἀπηκριβωμενην ἐχουσα την ἑαυτης φυσιν· ἡ δε, ἐλλειπη. και μη τι ἡ παρ' ἡμιν ἀποδειξις, μονη ἀν εἰη ἀληθης· ἁτε ἐκ θειων χορηγουμενη Γραφων, των ἱερων γραμματων, και της θεοδιδακτου σοφιας, κατα τον Αποστολον· Μαθησις γουν και το πειθεσθαι ταις ἐντολαις. ὁ ἐστι πιστευειν τῳ Θεῳ. και ἡ πιστις δυναμις τις του Θεου, ἰσχυς ουσα της ἀληθειας. αὐτικα φησιν, Εαν ἐχητε πιστιν ὡς κοκκον σιναπεως, μεταστησετε το ὀρος· και παλιν, Κατα την πιστιν σου, γενηθητω σοι. και ὁ μεν, θεραπευεται, προσλαβων τη πιστει την ἰασιν. ὁ δε, νεκρος ἀνισταται, δια την του πιστευσαντος ὁτι ἀναστησεται, ἰσχυν.

Η δε δοξαστικη ἀποδειξις, ἀνθρωπικη τε ἐστι, και προς των ῥητορικων γινομενη ἐπιχειρηματων, ἡ και διαλεκτικων συλλογισμων. ἡ γαρ ἀνωτατω ἀποδειξις, ἡν ἠνιξαμεθα ἐπιστημονικην, πιστιν ἐντιθησι δια της των Γραφων παραθεσεως τε και διοιξεως, ταις των μανθανειν ὀρεγομενων ψυχαις· ἡτις ἀν εἰη γνωσις. εἰ γαρ τα παραλαμβανομενα προς το ζητουμενον ἀληθη λαμβανεται,

ὡς

platio, facra myfteria infpiciens, vere fcientia, certa & immutabilis ratione facta. Hæc fola eft fapientiæ cognitio, a qua nunquam feparatur jufta operatio.

mento. Et prohibet simul in aratro conjungere bovem & asinum: fortasse quidem etiam eo collimans, quod nulla sit inter eos animantes convenientia: simul autem significans non oportere quemquam ex diversa gente injuria afficere, neque jugo subjungere, si nullius alterius rei eum possimus insimulare, quam quod sit diversi generis: quod quidem culpa caret, cum nec sit vitium, nec ex vitio proficiscatur. Mihi autem videtur quoque significare allegoria, Logi culturam non esse ex æquo communicandam mundo & immundo, fideli & infideli: quoniam bos quidem est mundus, in immundis autem reputatus est asinus. Redundanti autem quadam humanitate bonus Logos utens, nec quæ sunt frugiferæ mitisque materiæ arbores docet esse exscindendas, neque segetem ante messem sola perniciei causa tondendam: sed neque fructum mitem omnino interimendum, neque terræ, neque animæ: neque enim agros hostium permittit exscindere.

Jam vero qui sunt etiam studiosi agriculturæ; in his quoque possunt utilitatem a Lege accipere: jubet enim arbores nuper plantatas, tribus annis ordine sequentibus fovere & alere, & superfluas, quæ adnascuntur, exscindendo propagines, ne nimis gravatæ opprimantur, & ne alimento minutatim diviso imbecillæ fiant propter inopiam, ablaqueare & circumfodere, ut nihil prope germinans ac pullulans prohibeat incrementum: & fructum non sinit imperfectum colligi ex imperfectis, sed post triennium, quarto anno, primitiis Deo prius consecratis, postquam arbor perfecta fuerit. Qua agriculturæ figura utitur a docendum, quod oporteat exscindere peccatorum propagines, &, quæ una cum genitali fructu pullulant, inanes herbas cogitationis, donec perficiatur, & firmum fiat germen fidei. Quarto enim anno, quoniam tempore quoque opus est ei, qui stabiliter per cate-

την ὑποϛασιν. Θυσια δε αἰνεσεως, ὑπερ ὁλοκαυτωματα· Οὑτος γαρ σοι, φησι, διδωσιν ἰσχυν ποιησαι δυναμιν. ἐαν δε φωτισθη σοι τα πραγματα, λαβων και κτησαμενος ἰσχυν, ἐν γνωσει ποιει δυναμιν ἐμφαινει γαρ δια τουτων τα τε ἀγαθα, τας τε δωρεας παρα τυ Θευ χορηγεισθαι· και δειν ἡμας διακονυς γενομενυς της θειας χαριτος, σπειρειν τας τυ Θευ ευποιιας, και τυς πλησιαζοντας κατασκευαζειν καλυς τε και ἀγαθυς· ἱνα ὡς ὁτι μαλιϛα ὁ μεν σωφρων τυς ἐγκρατεις, ὁ δε ἀνδρειος τυς γενναιυς, συνετυς τε ὁ φρονιμος, και δικαιος τυς δικαιυς ἐκτελη.

ιθ. Οὑτος ἐϛιν ὁ κατ' εἰκονα και ὁμοιωσιν ὁ γνωϛικος, ὁ μιμυμενος τον Θεον καθοσον οἱοντε· μηδεν παραλιπων των εἰς την ἐνδεχομενην ὁμοιωσιν· ἐγκρατευομενος, ὑπομενων, δικαιως βιυς, βασιλευων των παθων, μεταδιδους ὡν ἐχει, ὡς οἱος τε ἐϛιν εὐεργετων και λογω, και ἐργω· Οὑτος μεγιϛος, φησιν ἐν τη βασιλεια, ὁς ἀν ποιη και διδασκη, μιμουμενος τον Θεον τω παραπλησια χαριζεσθαι· κοινωφελεις γαρ αἱ τυ Θεου δωρεαι. Ος δ' ἀν ἐγχειρη τι πρασσειν μεθ' ὑπερηφανιας, τον Θεον παροξυνει, φησιν· ἀλαζονεια γαρ ψυχης ἐϛι κακια· ἀφ' ἡς και των ἀλλων κακιων μετανοειν κελευει, ἁρμοζομενοις τον βιον ἐξ ἀναρμοϛιας προς την ἀμεινω μεταβολην, δια των τριων τουτων, ϛοματος, καρδιας, χειρων. συμβολον δ' ἀν εἰη ταυτα, πραξεως μεν, αἱ χειρες· βουλης δε, ἡ καρδια· και λογου ϛομα.

Καλως οὐν ἐπι των μετανοουντων εἰρηται το λογιον ἐκεινο· Τον Θεον εἱλου σημερον, εἰναι συ Θεον· και Κυριος εἱλετο σε σημερον, γενεσθαι λαον αὐτω· τον γαρ σπευδοντα θεραπευειν το ὀν, ἱκετην ὀντα, ἐξοικειυται ὁ Θεος· καν εἱς ἡ τον ἀριθμον, ἐπ' ἰσης τω λαω τετιμηται· μερος γαρ ὠν τυ λαου, συμπληρωτικος αὐτυ γινεται, ἀποκαταϛα-

hesin instituitur, quaternio virtutum Deo consecraır, cum tertia jam sola conjungatur cum quarta Doıini hypostasi. Sacrificium autem laudis super holoıusta. *Hic enim*, inquit, *dat tibi vires ac faciendam irtutem*. Sin autem res tibi illuminatæ fuerint, cum ircs ceperis & acquisieris, fac in cognitione virtuꞏm. Per hæc enim ostendit & bona & dona a Deo ıppeditari, & oportere nos, cum ministri facti simus ivinæ gratiæ, seminare Dei beneficia, & eos, qui ppropinquant, bonos & honestos reddere: ut quam ıaxime quidem temperans, continentes; qui est auꞏm fortis, generosos; & sapiens intelligentes, & juꞏus justos efficiat.

XIX. Hic est, qui ad imaginem & similitudinem Dei est Gnosticus, qui Deum imitatur quoad ejus fieꞏ potest, nihil prætermittens eorum, quæ faciunt ad onciliandam, quatenus fieri potest, similitudinem, ontinens, sustinens, juste vivens, imperans animi erturbationibus, ea, quæ habet, impertiens, pro iribus benefaciens, & verbo, & opere. Hic est, ıquit, *maximus in regno, qui fecerit & docuerit*, Deum nitans, consimiliter beneficia conferendo. Sunt nim communiter utilia Dei dona. *Quicunque autem uperbia aliquid agere aggressus fuerit, Deum*, inquit, *irritat*. Est enim arrogantia, animæ vitium: cujus & liorum vitiorum jubet duci pœnitentia, ex inconinnitate concinnando vitam ad meliorem mutatioem, per hæc tria, os, cor, manus. Symbolum utem signumque hæc fuerint, actionis quidem, maus: cor autem, consilii: & os, sermonis.

Recte ergo dictum est de pœnitentibus illud elouium. *Deum elegisti hodie, ut esset Deus tuus: & Dominus elegit te hodie, ut esses ejus populus*. Eum enim, ui Deum colere festinat, cum supplex sit, sibi ı familiarem adsciscit Deus: & si unus fuerit nuıero, æque ac *populus* est honoratus. Cum enim sit

ταςαθεις ἐξ ὑ ἠν· καλειται δε και ἐκ μερους το παν. Αὑτη δε ἡ εὐγενεια, ἐν τω ἑλεσθαι και συναςκησαι τα καλλιςα διαδεικνυται· ἐπει τι τον Αδαμ ὠφελησεν ἡ τοιαυτη αὐτου εὐγενεια; πατηρ δε αὐτῳ θνητος ὑδεις· αὐτος γαρ ἀνθρωπων των ἐν γενεσει πατηρ. τα μεν αἰσχρα, οὑτος προθυμως εἱλετο, ἑπομενος τη γυναικι· των δε ἀληθων και καλων ἠμελησεν· ἐφ' οἱς θνητον ἀθανατου βιον, ἀλλ' ουκ εἰς τελος, ἀνθυπηλλαξατο. Νωε δε ὁ μη οὑτω γενομενος ὡς ὁ Αδαμ, ἐπισκοπη θεια διασωζεται· φερων γαρ αὑτον ἀνεθηκε τῳ Θεῳ. τον τε Αβρααμ ἐκ τριων παιδοποιησαμενον γυναικων, οὐ δι' ἡδονης ἀπολαυσιν, δι' ἐλπιδα δε, οἰμαι, του πληθυναι το γενος ἐν ἀρχῃ, εἱς μονος διαδεχεται κληρονομος των πατρῳων ἀγαθων· οἱ δε ἀλλοι, διωκισθησαν της συγγενειας· ἐκ τε αὐτου διδυμων γενομενων, ὁ νεωτερος κληρονομει, εὐαρεςος τῳ πατρι γενομενος, και τας εὐχας λαμβανει· δουλευει δε ὁ πρεσβυτερος αὐτῳ· ἀγαθον γαρ μεγιςον τῳ φαυλῳ, το μη αὐτεξυσιον. ἡ δε οἰκονομια αὐτη, και προφητικη, και τυπικη.

Οτι δε τῳ σοφῳ παντα ἐςι, σαφως μηνυει λεγων, Διοτι ἠλεησεν με ὁ Θεος, ἐςι μοι παντα· ἑνος γαρ δειν ὀρεγεσθαι διδασκει, δι' ὑ τα παντα γεγονεν, και τοις ἀξιοις τα ἐπηγγελμενα νεμεται. κληρονομον ὑν τον σπυδαιον γενομενον της βασιλειας, συμπολιτην δια της θειας σοφιας ἀναγραφει και των παλαι δικαιων, των κατα τον Νομον καί προ Νομυ νομιμως βεβιωκοτων, ὡν αἱ πραξεις νομοι γεγονασιν εἰς ἡμας. παλιν τε αὑ βασιλεα τον σοφον διδασκων, τυς μη ὁμοφυλυς ποιει λεγοντας; αὐτῳ, Βασιλευς παρα Θεῳ συ ἐν ἡμιν εἰ· ἐθελυσιῳ γνωμη των ἀρχομενων δια ζηλον ἀρετης ὑπακυοντων τῳ σπουδαιῳ. Πλατων δε ὁ φιλοσοφος, εὐδαιμονιας τελος τιθεμενος, ὁμοιωσιν Θεῳ φησιν αὐτην εἰναι κατα το δυνατον· εἰτε και συνδραμων πως τῳ δογματι τῳ Νο-

μυ·

pars populi, eum adimplet, in eum, ex quo erat, restitutus. Vocatur autem ex parte quoque totum. Ipsa autem nobilitas ostenditur in eo, quod quæ sunt pulcherrima eligat ac exerceat. Quid enim Adæ profuit talis ejus nobilitas, & quod ejus nullus esset pater mortalis: ipse enim pater hominum, qui sunt generatione propagati? Turpia quidem ille prompto & alacri animo delegit, uxorem sequens: vera autem & honesta neglexit. Quo factum est, ut vitam immortalem mortali commutaret, licet non in perpetuum. Noe autem, qui non sic factus est ut Adam, cura ac providentia Divina conservatur: se enim Deo oblatum dedicavit. Et Abrahæ, qui ex tribus uxoribus liberos susceperat, non ut frueretur voluptate, sed quod speraret, ut puto, in principio genus multiplicare, unus solus hæres succedit bonis paternis, alii autem divulsi sunt a cognatione. Et cum ex eo nati essent gemini, est hæres junior, qui patri complacuit, & ejus vota suscipit: ei autem servit is, qui erat ætate major. Malo enim homini bonum est maximum, ut non sit suæ potestatis. Hæc autem œconomia est & prophetica, & typica.

Quod autem sunt omnia sapientis, aperte indicat, dicens: *Quoniam Deus mei misertus est, sunt mihi omnia.* Unum enim oportere docet expetere, per quem facta sunt omnia, & qui iis, qui digni sunt, promissa tribuit. Eum ergo, qui bonus fuerit, regni hæredem, & concivem, per divinam describit sapientiam, eorum, qui olim fuere justi, qui & in Lege, & ante Legem juste vixere, quorum actiones sunt nobis pro legibus. Et sapientem rursus docens esse Regem, quosdam alienigenas introducit ei dicentes. *Rex a Deo tu es in nobis*; iis, qui ab eo reguntur, propter admirationem virtutis viro bono sua sponte parentibus. Plato autem philosophus finem ponens beatitudinis, dicit eam esse Deo assimilationem, quoad fieri

μυ· αἱ γαρ μεγαλαι φυσεις και γυμναι παθων εὐςοχυσιπως περι την ἀληθειαν, ὡς φησιν ὁ Πυθαγοριος Φιλων, τα Μωϋσεως ἐξηγυμενος· εἰτε και παρα τινων τοτε λογιαν ἀναδιδαχθεις, ἀτε μαθητεως ἀει διψων. φησι γαρ ὁ Νομος, Οπισω κυριυ τυ Θευ ὑμων πορευεσθε· και τας ἐντολας μου φυλαξετε. την μεν γαρ ἐξομοιωσιν, ὁ Νομος ἀκολυθιαν ὀνομαζει· ἡ δε τοιαυτη ἀκολυθια, κατα δυναμιν ἐξομοιοι. Γινεσθε, φησιν ὁ Κυριος, ἐλεημονες και οἰκτιρμονες, ὡς ὁ Πατηρ ὑμων ὁ ὐρανιος οἰκτιρμων ἐςιν. ἐντευθεν και οἱ Στωϊκοι το ἀκολυθως τῃ φυσει ζην, τελος εἰναι ἐδογματισαν, τον Θεον εἰς φυσιν μετονομασαντες εὐπρεπως· ἐπειδη ἡ φυσις και εἰς φυτα, και εἰς σπαρτα, και εἰς δενδρα, και εἰς λιθυς διατεινει. σαφως τοινυν εἰρηται· Ανδρες κακοι ὐ νοῦσι Νομον· οἱ δε ἀγαπωντες Νομον, προβαλλυσιν ἑαυτοις τειχος. Σοφια γαρ πανυργων, ἐπιγνωσεται τας ὁδους αὐτης· ἀνοια δε ἀφρονων, ἐν πλανῃ· Επι τινα γαρ ἐπιβλεψω, ἀλλ' ἢ ἐπι τον πραον και ἡσυχιον, και τρεμοντα μου τυς λογους; ἡ προφητεια λεγει.

Τριττα δε εἰδη φιλιας διδασκομεθα· και τουτων, το μεν πρωτον και ἀριςον, το κατ' ἀρετην· ςερρα γαρ ἡ ἐκ λογου ἀγαπη. το δε δευτερον και μεσον, κατ' ἀμοιβην· κοινωνικον δε τυτο, και μεταδοτικον, και βιωφελες· κοινη γαρ ἡ ἐκ χαριτος φιλια. το δε ὑςατον και τριτον, ἡμεις μεν το ἐκ συνηθειας φαμεν· οἱ δε, το καθ' ἡδονην τρεπτον και μεταβλητον. και μοι δοκει παγκαλως Ιπποδαμος ὁ Πυθαγοριος γραφειν τας φιλιας· Α μεν, ἐξ ἐπιςαμας Θεων. ἁ δ', ἐκ παροχας ἀνθρωπων· ἁ δε, ἐξ ἁδονας ζωων. οὐκουν ἡ μεν τις ἐςι, φιλοσοφου φιλια· ἡ δε, ἀνθρωπου· ἡ δε, ζωου. τῳ γαρ ὀντι εἰκων τυ Θεου ἀνθρωπος εὐεργετων· ἐν ᾧ και αὐτος εὐεργετειται· ὡςπερ γαρ ὁ κυβερνητης, ἁμα σωζει και σωζεται.

δια

poteſt: ſive cum Legis decreto quodammodo concurrens (magnæ enim naturæ & liberæ a paſſionibus, neſcio quomodo, feruntur ad ſcopum veritatis, ut dicit Philo Pythagoreus, Moſis res geſtas deſcribens) ſive etiam doctus ab aliquibus, quæ tunc erant, divinis eloquiis, ut qui doctrinæ ſiti ſemper teneretur. Dicit enim Lex: *Poſt Dominum Deum veſtrum ambulate, & mandata mea ſervate.* Aſſimilationem enim Lex nominat conſectationem. Talis autem conſectatio, quoad fieri poteſt, aſſimilat. *Eſtote*, inquit Dominus, *miſericordes, ſicut Pater veſter cœleſtis miſericors eſt.* Hinc Stoici quoque, naturæ conſequenter vivere, finem eſſe ſtatuerunt, eleganter Dei nomine transmutato, in naturam: quoniam natura & ad plantas, & ad ea quæ ſeminantur, & ad arbores, & ad lapides extenditur. Aperte ergo dictum eſt: *Viri mali Legem non intelligunt: qui autem Legem diligunt, ſibi muri propugnaculum muniunt. Aſtutorum* enim *ſapientia agnoſcet vias ſuas: ignorantia autem ſapientum erit in errore. Super quem enim reſpiciam, niſi ſuper mitem & manſuetum & trementem verba mea?* ait Prophetia.

Docemur autem, eſſe triplex genus amicitiæ: & eorum primum quidem eſt, idque optimum ac præſtantiſſimum, id, quod virtute conciliatur: valida enim eſt, quæ ex ratione oritur, dilectio. Secundum autem ac medium, ex remuneratione: eſt autem hoc genus aptum ad ſocietatem ac communicationem, lubenter impertiens, & vitæ conducibile. Communis enim eſt, quæ ex gratia oritur, amicitia. Ultimum autem ac tertium, nos quidem dicimus id, quod eſt ex conſuetudine: illi vero, id, quod propter voluptatem vertitur ac mutatur. Ac mihi quidem pulcherrime Hippodamus Pythagoreus videtur deſcribere amicitias: *Una quidem eſt*, inquit, *ex ſcientia Deorum: altera vero, ex hominum ſuppeditatione: tertia vero, ex voluptate animantium.* Eſt ergo una quidem

philo-

[illegible] ἐτ' ἀν τις αἰτων τυχῃ, ὐ φησι τῳ διδοντι, Κα[illegible] [illegible]. [illegible]λα, Καλως εἰληφας. οὑτω λαμβανει μενὁ [illegible] [illegible] δε ὁ λαμβανων. Δικαιοι δε οἰκτειρου[illegible] [illegible] Χρηςοι δε, ἐσονται οἰκητορες γης· ἀκα[illegible] [illegible]θησονται ἐπ' αὐτης· οἱ δε παρανομουν[illegible] [illegible]θησονται ἀπ' αὐτης.

[illegible] δοκει τον πιςον προμαντευομενος Ομηρος εἰρη[illegible]. [illegible]λῳ· ἐχθρῳ δε ἐπικουρητεον, ἱνα μη μενῃ ἐχ[illegible]· [illegible]ρια γαρ, εὐνοια μεν συνδειται. λυεται δε ἐχ[illegible] [illegible] εἰ και προθυμια προκειται, καθο ἐαν ἐχῃ εὐ[illegible]τος. οὐ καθο οὐκ ἐχει· οὐ γαρ ἱνα ἀλλοις ἀνεσις, [illegible] θλιψις· ἀλλ' ἐξ ἰσοτητος ἐν τῳ νυν καιρῳ· και [illegible]. Εσκορπισεν, ἐδωκεν τοις πενησιν· ἡ δικαιοσυνη [illegible] μενει εἰς τον αἰωνα, ἡ Γραφη λεγει· το γαρ κατ' [illegible] και ὁμοιωσιν, ὡς και προσθεν εἰρηκαμεν, οὐ το κα[illegible] [illegible]μα μηνυεται· οὐ γαρ θεμις θνητον ἀθανατῳ ἐξο[illegible]θαι· ἀλλ' ἡ κατα νουν και λογισμον· ᾡ και την [illegible] το εὐεργετειν, και την προς το ἀρχειν ὁμοιοτητα, [illegible]ως ὁ Κυριος ἐνσφραγιζεται· οὐ γαρ αἱ ἡγεμονιαι [illegible]των ποιοτησιν, ἀλλα διανοιας κρισεσι κατορθουν[illegible]· βουλαις γαρ ἀνδρων ὁσιων, εὐ μεν οἰκουνται πο[illegible], εὐ δ' οἰκος.

[illegible]. Η γε μην καρτερια και αὐτη εἰς την θειαν ἐξομοι[illegible] βιαζεται, δι' ὑπομονης ἀπαθειαν καρπουμενη, εἰ [illegible] ἀναυλα τα ἐπι τον Ανανιαν ἱςορουμενα· ὠν εἱς και Δα[illegible] ὁ προφητης ἠν, θειας πιςεως πεπληρωμενος. Βα[illegible]λωνια ᾠκει Δανιηλ, καθαπερ ὁ μεν Λωτ, τα Σοδομα· [illegible] Χαλδαιων δε γην ὁ Αβρααμ, ὁ μετ' ὀλιγον φιλος τυ [illegible]. κατηγαγεν ὀυν εἰς ὀρυγμα θηριων ἐμπλεων τον Δα-

νιηλ

philosophi amicitia, altera vero hominis, tertia autem animalis. Revera enim Dei est imago homo benefaciens: qua in re ipse etiam beneficio afficitur; nam, sicut gubernator, simul servat & servatur. Et ideo cum quis petens fuerit consecutus, non dicit danti, Recte dedisti, sed, Recte accepisti. Ita accipit quidem, qui dat: dat autem, qui accipit. *Justi autem miserentur: Benigni autem erunt habitatores terræ: innocentes autem relinquentur in ea: qui autem inique se gerunt, exterminabuntur ab ea.*

Ac mihi videtur Homerus fidelem prædivinans, dixisse: *Da amico.* Inimico autem ferendum est auxilium, ne maneat inimicus. Auxilio enim vincitur quidem benevolentia, dissolvuntur vero inimiciæ. Sed *si adsit quidem promtitudo animi, quatenus habet, est accepta, non quatenus non habet. Non enim ut aliis remissio, vobis autem afflictio, sed ex æqualitate in præsenti tempore*, & quæ sequuntur. *Dispersit, dedit pauperibus, justitia ejus manet in seculum seculi*, ait Scriptura. Quod enim est ad imaginem & similitudinem, sicut etiam prius diximus, non elucet corpore (nefas enim est, mortale assimilari immortali) sed mente ac ratione: qua & eam, quæ est in benefaciendo, & eam, quæ in imperando, obsignat Dominus similitudinem. Non enim principatus corporum qualitatibus, sed judicio mentis recte geruntur. Sanctorum enim virorum consiliis civitates recte administrantur, & recte domus.

XX. Porro autem tolerantia ipsa quoque contendit ad divinam similitudinem, ut quæ impatibilitate quodammodo fruatur per patientiam, si quis in memoria teneat ea, quæ narrantur de Anania: quorum unus quoque fuit Daniel propheta, divina fide plenus. Babylonem habitabat Daniel, sicut Lot quidem Sodoma, Chaldæorum autem terram Abraham, qui paulo post fuit Dei amicus. In antrum feris plenum

addu-

νικᾷ ὁ Βαβυλωνιων βασιλευς· ἀνηγαγε δε αὐτον ἀβλαβη ὁ ἁπαντων Βασιλευς, ὁ πιςος Κυριος. ταυτην κτησεται την ὑπομονην ὁ γνωςικος, ἡ γνωςικος· εὐλογησει πειραζομενος ὡς ὁ γενναιος Ιωβ, ὡς Ιωνας εὐξεται καταπινομενος ὑπο κητες, και ἡ πιςις αὐτον ἀποκαταςησει Νινευιταις προφητευοντα· κἀν μετα λεοντων καθειρχθη, ἡμερωσει τα θηρια· κἀν εἰς πυρ ἐμβληθη, δροσισθησεται, ἀλλ' ὀκ ἐκπυρωθησεται· μαρτυρησει νυκτωρ, μαρτυρησει μεθ' ἡμεραν· ἐν λογῳ, ἐν βιῳ, ἐν τροπῳ μαρτυρησει· συνοικος ἐν τῳ Κυριῳ ὁμιλης τε και συνεςιος κατα το πνευμα διαμενει· καθαρος μεν την σαρκα, καθαρος δε την καρδιαν· ἡγιασμενος τον λογον. Ο κοσμος τετῳ, φησιν, ἐςαυρωται, και αὐτος τῳ κοσμῳ. ὅτος τον ςαυρον τε Σωτηρος περιφερων, ἑπεται Κυριῳ μετ' ἰχνιον, ὡς Θεος, ἁγιος ἁγιων γενομενος.

Πασης τοινυν ἀρετης μεμνημενος ὁ θειος Νομος, ἀλειφει μαλιςα τον ἀνθρωπον ἐπι την ἐγκρατειαν· θεμελιον ἀρετων κατατιθεμενος ταυτην· και δη προπαιδευει ἡμας εἰς την περιποιησιν της ἐγκρατειας, ἀπο της των ζωων χρησεως, ἀπαγορευων μεταλαμβανειν των ὅσα φυσει πιονα, καθαπερ το των συων γενος, εὐσαρκοτατον τυγχανον· τρυφωσι γαρ ἡ τοιαυτη χρησις χορηγειται. λεγεται γ' ὀν τινα των φιλοσοφεντων ἐτυμολογεντα την ὑν, θυν εἰναι φαναι, ὡς εἰς θυσιν και σφαγην μονον ἐπιτηδειον· δεδοσθαι γαρ τῳδε τῳ ζωῳ ψυχην προς ὀδεν ἑτερον, ἡ ἑνεκα τε τας σαρκας σφριγαν. των τε ἰχθυων ὁμοιως ἀπηγορευσε μεταλαμβανειν, ςελλων ἡμων τας ἐπιθυμιας, ἐκεινων οἱς μητε πτερυγια, μητε λεπιδες εἰσιν· εὐσαρκιᾳ γαρ και πιοτητι των ἀλλων ἰχθυων ὅτοι διαφερουσιν. ἐντευθεν, οἰμαι, και τας τελετας, ὀ μονον τινων ζωων ἀπαγορευειν ἁπτεσθαι· ἀλλ' ἐςιν ἁ και των καταθυομενων ὑπεξειλετο της χρησεως μερη, δι' αἰτιας ἁς ἰσασιν οἱ μυςαι. εἰ δη γαςρος και των ὑπο γαςερα κρατητεον, δηλον ὡς ἀνωθεν παρειληφαμεν παρα τε Κυριου δια τε Νομου την ἐπιθυμιαν ἐκκοπτειν. γενοιτο δ'

ἀν

adduxit Danielem rex Babyloniorum: ipsum autem eduxit illæsum Rex universorum, fidelis Dominus. Hanc possidebit tolerantiam Gnosticus, quatenus est ejusmodi. Si tentatur, benedicet, ut generosus Job: si devoretur a cete, ut Jonas precabitur, & fides eum restituet prædicentem Ninevitis: & si inclusus fuerit cum leonibus, feras mansuefaciet: & si in ignem fuerit injectus, rore recreabitur, non igne exuretur. Noctu erit martyr, interdiu martyr, in sermone, in vita, in moribus erit martyr. Cum Domino cohabitans, eoque familiariter utens, in spiritu permanet; mundus quidem carne, mundus autem corde, sanctificatus sermone. *Mundus*, inquit, *ei crucifixus est, & ipse mundo.* Is crucem Servatoris circumferens, Domini sequitur vestigia, tanquam Deus, effectus sanctus sanctorum.

Omnis ergo virtutis cum meminerit Lex divina, hominem maxime exercet ad continentiam, eam statuens fundamentum virtutum: atque adeo nos præerudit ad continentiam acquirendam, ex usu animantium, iis vesci prohibens, quæ sunt natura pinguia, quemadmodum genus suum, quod carnis habet plurimum. Delicatis enim ac luxuriosis suppeditatur talis usus. Dicitur itaque quidam philosophus suis afferens etymologiam, qui ὗς dicitur, ὧν dixisse quasi θῦν, ut qui ad θῦσιν, hoc est, *mactationem*, aptus esset solummodo: datam enim esse huic animali ad nihil aliud animam, quam ut carnes luxuriarent. Et similiter nostras cupiditates reprimens, prohibuit illis vesci piscibus, qui nec pinnas habent, nec squamas. Carnium enim bonitate & pinguedine hi aliis piscibus antecellunt. Hinc existimo mysteria quoque non solum prohibere aliqua tangere animalia, sed etiam nonnullas eorum, quæ sacrificantur, eximere ab usu partes, propter eas, quas Mystæ sciunt, causas. Si est itaque venter continendus, & ea, quæ sunt sub

ventre,

ἂν τελεως τουτο, εἰ τε ὑπεκκαυματος της ἐπιθυμιας, της ἡδονης λεγω, ἀνυποκριτως καταγνοιημεν. Φασι δε αὐτης εἰναι την ἐννοιαν, κινησιν λειαν και προσηνη μετα τινος αἰσθησεως. ταυτη δουλευοντα τον Μενελεων, μετα την Ιλιου ἁλωσιν Φασιν ὁρμησαντα την Ελενην ἀνελειν, ὡς κακων τοσουτων αἰτιαν γενομενην, ὁμως οὐ κατισχυσαι πραξαι, ἡττηθεντα τῳ καλλει, δι οὐ ἐπι την ἀναμνησιν της ἡδονης ἀφικετο. ὁθεν ἐπισκωπτοντες οἱ τραγῳδοποιοι, ὀνειδιστικως ἐπιβοησαν αὐτῳ,

Συ δ᾽, ὡς ἐσειδες μασον, ἐκβαλων ξιφος,
Φιλημ᾽ ἐδεξω, προδοτιν αἰκαλλων κυνα.

και παλιν,

Αρ᾽ εἰς το καλλος ἐκκεκωφηνται ξιφη;

Εγω δε ἀποδεχομαι τον Αντισθενην, Την Αφροδιτην, λεγοντα, κἀν κατατοξευσαιμι, εἰ λαβοιμι· ὁτι πολλας ἡμων καλας και ἀγαθας γυναικας διεφθειρεν. τον τε ἐρωτα κακιαν Φησι Φυσεως· ἡς ἡττους ὀντες οἱ κακοδαιμονες, Θεον την νοσον καλουσιν· δεικνυται γαρ δια τουτων ἡττασθαι τους ἀμαθεστερους, δι᾽ ἀγνοιαν ἡδονης, ἡν οὐ χρη προσιεσθαι, κἀν Θεος λεγηται, τουτεστι, κἀν θεοθεν ἐπι την της παιδοποιΐας χρειαν δεδομενη τυγχανη. και ὁ Ξενοφων ἀντικρυς κακιαν λεγων την ἡδονην, Φησιν· "Ω τλημον· τι δε συ ἀγαθον οἰσθα, ἡ τι καλον σκοπεις; ἡτις οὐδε την των ἡδεων ἐπιθυμιαν ἀναμενεις· πριν μεν πεινην, ἐσθιουσα· πριν δε διψην, πινουσα· και ἱνα μεν ἡδεως Φαγης, ὀψοποιους μηχανωμενη· ἱνα δε ἡδεως πινης, οἰνους πολυτελεις παρασκευαζη· και του θερους χιονα περιθεουσα ζητεις· ἱνα δε κατακοιμηθης ἡδεως, οὐ μονον τας κλινας μαλθακας, ἀλλα και τα ὑποβαθρα ταις κλιναις παρασκευαζη." ὁθεν, ὡς ἐλεγεν Αρισων, προς ὁλον το τετραχορδον,

ventre, clarum est, quod jam olim a Domino accepimus, per Legem exscindere debere nos cupiditatem. Id autem perfecte fiet, si cupiditatis fomitem, voluptatem, inquam, non ficte damnaverimus. Dicunt ejus hanc esse notionem, ut sit lenis & blandus motus cum aliquo sensu. Ei servientem Menelaum post Trojam captam dicunt, cum impetu ferretur ad occidendam Helenam, quod tot & tantorum fuisset causa malorum, id tamen non potuisse efficere, victum pulchritudine, per quam in mentem venit recordatio pristinæ voluptatis. Unde ludificantes Tragici, cum probro ac dedecore in eum exclamant:

At tu papillam contuens gladium abjicis,
Et proditrici figis osculum cani.

Et rursus;

Hebescit ensis ergo pulchritudine?

Ego vero Antistheni assentior, qui dicit: *Ego Venerem si acciperem, jaculis confoderem: quia hæc nobis honestas probasque mulieres multas corrupit*: Cupidinem *vero naturæ vitium appellabat, cui succumbentes miseri ægritudinem Deum vocant.* Per hæc enim ostenditur vinci imperitiores, propter ignorationem voluptatis, quæ non est admittenda, etsi Dea dicatur, hoc est, etsi divinitus data sit ad usum liberorum procreationis. Et Xenophon voluptatem aperte vitium dicens, inquit: "O! misera, quid vero tu bonum nosti, aut quid honestum consideras? quæ ne eorum quidem, quæ sunt jucunda, appetitum exspectas. sed priusquam esurias quidem, comedis: priusquam autem sitias, bibis: & ut jucunde vescaris, obsoniorum conditores excogitas: ut autem suaviter bibas, magno sumtu vina comparas, & per æstatem nivis quærendæ causa circumcursas: ut autem jucunde dormias, non solum molles lectos, sed etiam, quæ lectis supponantur, fulcra paras." Unde, ut dicebat Aristo, ad *totum tetrachordon, voluptatem*, inquam, *& dolorem*

χορδον, ἡδονην, λυπην, φοβον, ἐπιθυμιαν πολλης δ' ἐ της ἀσκησεως και μαχης.

Οὗτοι γαρ, ἐτοι, και δια σπλαγχνων ἔσω
Χωρουσι, και κυκωσιν ἀνθρωπων κεαρ.

Και γαρ των σεμνων οἰομενων εἶναι τες θυμες, ἡ ἡδονη κηρινες ποιει, κατα Πλατωνα· ὅτι ἑκαστη ἡδονη τε και λυπη προσπασσαλοι τῳ σωματι ψυχην, τε γε μη ἀφοριζοντος και ἀποσαυρεντος ἑαυτον των παθων.

Ο ἀπολεσας την ψυχην την ἑαυτου, φησιν ὁ Κυριος, σωσει αὐτην· ἤτοι ῥιψοκινδυνως ὑπερ τε Σωτηρος αὐτην ἐπιδιδες, ὡς αὐτος ὑπερ ἡμων πεποιηκεν· ἡ ἀπολεσας αὐτην, ἐκ της προς τον συνηθη βιον κοινωνιας. ἐαν γαρ ἀπολυσαι, και ἀποςησαι, και ἀφορισαι· τετο γαρ ὁ ςαυρος σημαινει· την ψυχην ἐθελησης της ἐν τετῳ τῳ ζην τερψεως τε και ἡδονης, ἑξεις αὐτην ἐν τῃ ἐλπιδι τῃ προσδοκωμενῃ, εὑρημενην και ἀναπεπαυμενην. εἴη δ' ἂν τετο μελετη θανατε, εἰ μοναις ταις κατα φυσιν μεμετρημεναις ὀρεξεσι, μηδεν ὑπερορι ζεσαις των κατα φυσιν, ἐπι το μαλλον ἡ παρα φυσιν, ἐνθα το ἁμαρτητικον φυεται, ἀρκεισθαι βελοιμεθα. Ενδυσασθαι ἐν δει την πανοπλιαν τε Θεε προς το δυνασθαι ἡμας ςηναι προς τας μεθοδειας τε Διαβολε· ἐπει τα ὁπλα της ςρατειας ἡμων ἐ σαρκικα, ἀλλα δυνατα τῳ Θεῳ, προς καθαιρεσιν ὀχυρωματων, λογισμους καθαιρουντες, και παν ὑψωμα ἐπαιρομενον κατα της γνωσεως τε Θεε· και αἰχμαλωτιζοντες παν νοημα εἰς ὑπακοην του Χριςου, ὁ θειος φησιν Αποςολος. ἀνδρος δη χρεια, ὅςις θαυμαςως και ἀσυγχυτως τοις πραγμασι χρησεται, ἀφ' ὧν τα παθη ὁρμαται· οἷον πλετῳ και πενιᾳ, και δοξῃ και ἀδοξιᾳ, ὑγειᾳ και νοσῳ, ζωῃ και θανατῳ, πονῳ και ἡδονῃ. ἵνα γαρ ἀδιαφορως τοις διαφοροις χρησωμεθα, πολλης ἡμιν δει διαφορας, ἅτε προκεκακωμενοις ἀσθενειᾳ πολλῃ, και προ-

& metum, & cupiditatem, & multa exercitatione & pugna opus est.

Hi namque ad intima usque penetrant viscera,
Fluctusque in animo concitant mortalium.

Eorum enim, qui graves existimantur, animos voluptas facit cereos, ex sententia Platonis: quoniam *unaquaque voluptas, & unusquisque dolor corpori affigit animam* ejus, qui non se separat ab affectibus, eosque cruci affigit.

Qui perdiderit animam suam, inquit Dominus, *servabit ipsam*: scilicet aut eam lubenter pro Domino periculis exponens, sicut ille se nostri gratia exposuit: aut eam perdens ex ea, quæ est ei cum hac vita, consuetudine. Si enim solvere, abducere & segregare (id enim crux significat) animam volueris ab ea, quæ est in vita, voluptate & delectatione, habebis eam, in ea, quæ exspectatur, spe inventam & conquiescentem. Hoc enim fuerit meditatio mortis, si solis iis, quæ sunt secundum naturam dimensæ, appetitionibus, & quæ ea, quæ sunt secundum naturam, non excedunt, declinando ad id, quod exsuperat, vel quod est præter naturam, in quo peccandi enascitur occasio, contenti esse velimus. *Oportet ergo nos Dei induere armaturam, ad hoc ut possimus resistere insidiis Diaboli: Quoniam arma militiæ nostræ non sunt carnalia, sed Deo potentia, ad destructionem munitionum, cogitationes destruentes, & omnem altitudinem se extollentem adversus Dei cognitionem, & captivantes omnem intellectum ad obediendum fidei*, ait divinus Apostolus. Viro utique opus est, qui admirabiliter & inconfuse iis rebus sit usurus, a quibus oriuntur affectus: quemadmodum divitiis & paupertate, gloria & ignominia, sanitate & morbo, vita & morte, labore & voluptate. Ut enim indifferenter utamur differentibus, magna nobis opus est differentia, ut qui multa imbecil-

προδιαςροφῃ κακης ἀγωγης τε και τροφης, μετα ἀμαθιας προαπολελαυκοσιν.

Ο μεν οὐν ἁπλους λογος της καθ᾽ ἡμας φιλοσοφιας, τα παθη παντα ἐναπερεισματα της ψυχης φησιν εἰναι, της μαλθακης και εἰκουσης, και οἱον ἐναποσφραγισματα των πνευματικων Δυναμεων, προς ἁς ἡ παλη ἡμιν. ἐργον γαρ, οἰμαι, ταις κακουργοις Δυναμεσιν ἐνεργειν τι της ἰδιας ἑξεως παρ᾽ ἑκαςα πειρασθαι, εἰς το καταγωνισασθαι, και ἐξιδιοποιησασθαι τυς ἀπειπαμενυς αὐτας. ἑπεται δ᾽ εἰκοτως, τους μεν, καταπαλαιεσθαι· ὁσοι δε ἀθλητικωτερον τον ἀγωνα μεταχειριζονται, παμμαχον ἀγωνισαμεναι, και μεχρι τυ ςεφανου χωρησασαι αἱ προειρημεναι Δυναμεις ἐν πολλῳ τῳ λυθρῳ, τοτε δη ἀπαυδωσι, θαυμαζουσαι τυς νικηφορους. των γαρ κινουμενων ἁ μεν, καθ᾽ ὁρμην και φαντασιαν κινειται, ὡς τα ζωα· τα δε, κατα μεταθεσιν, ὡς τα ἀψυχα. κινεισθαι δε και των ἀψυχων τα φυτα μεταβατικως φασιν εἰς αὐξησιν, εἰ τις αὐτοις ἀψυχα εἰναι συγχωρησει τα φυτα. ἑξεως μεν οὐν οἱ λιθοι, φυσεως δε τα φυτα, ὁρμης τε και φαντασιας, των τε αὖ δυειν των προειρημενων, και τα ἀλογα μετεχει ζωα. ἡ λογικη δε δυναμις, ἰδια ὐσα της ἀνθρωπειας ψυχης, ὐκ ὡσαυτως τοις ἀλογοις ζωοις ὁρμαν ὀφειλει, ἀλλα και διακρινειν τας φαντασιας, και μη συναποφερεσθαι αὐταις. αἱ τοινυν Δυναμεις, περι ὡν εἰρηκαμεν, καλλη, και δοξας, και μοιχειας, και ἡδονας, και τοιαυτας τινας φαντασιας δελεαςικας περιτεινουσι ταις ευεπιφοροις ψυχαις, καθαπερ οἱ ἀπελαυνοντες τα θρεμματα, θαλλους προσιεντες· εἰτα κατασοφισαμεναι τυς μη διακρινειν δυνηθεντας την ἀληθη ἀπο ψευδυς ἡδονην, και το ἐπικηρον τε και ἐφυβριςον ἀπο τυ ἁγιυ καλλυς, ἀγυσιν δυλωσαμεναι. ἑκαςη δε ἀπατη συνεχως ἐναπερειδομενη τῃ ψυχῃ, την φαντασιαν ἐν αὐ-

τῃ

litate prius male affecti simus, & in mala educatione & institutione prius versati cum ignoratione.

Simplex ergo ratio nostræ philosophiæ, dicit omnes affectus esse impressiones mollis & cedentis animæ, & veluti obsignationes Potestatum spiritualium, adversus quas nobis est colluctatio. Maleficarum enim, ut puto, Potestatum est opus, proprii habitus aliquid conari singulis rebus imprimere, ut nos, qui iis abrenunciavimus, in certamine superent, & suos efficiant. Est ergo jure consequens, ut aliqui quidem in lucta prosternantur. Quicunque autem certamen magis athletice aggrediuntur, omni contentione decertantes, ad coronam usque perveniunt: prædictæ autem Potestates in multo sudore & cruore tunc deficiunt, victores admirantes. Eorum enim, quæ moventur, alia quidem ex appetitione moventur & imaginatione, sicut animalia: alia autem per translationem, sicut inanimata: ex inanimis autem plantas quoque quidam dicunt moveri transeundo ad augmentum, si quis eis esse plantas inanimas concesserit. Et habitum quidem lapides; naturam plantæ; appetitionem vero & imaginationem, & ea præterea duo, quæ prius dicta sunt, bruta quoque participant. Ratiocinandi autem potestas, quæ est propria humanæ animæ, non debet similiter impelli atque animantia ratione carentia, sed imaginatione percepta discernere, & non ab eis abduci. Hæ ergo, de quibus diximus, Potestates, pulchritudines & glorias, & adulteria & voluptates, & tales ejusmodi inescantes imagines, iis, quæ facile seduci possunt, animabus protendunt, quemadmodum qui pecora abigunt, eis frondes porrigunt. Deinde cum eos astu circumvenerint, qui non possunt veram voluptatem a falsa discernere, fluxamque ac caducam injuriæque obnoxiam a sancta pulchritudine, ducunt in servitutem. Unaquæque autem deceptio assidue premens animam,

τῃ τυπυται· και δη την εικονα ελαθεν περιφερουσα τυ παθους ἡ ψυχη της αιτιας, απο τε του δελεατος, και της ἡμων συγκαταθεσεως γινομενης.

Οἱ δ᾽ ἀμφι τον Βασιλειδην, προσαρτηματα τα παθη καλειν ειωθασιν· πνευματα τινα ταυτα κατ᾽ ὐσιαν ὑπαρχειν προσηρτημενα τῃ λογικῃ ψυχῃ κατα τινα ταραχον και συγχυσιν ἀρχικην· ἀλλας τε αὐ πνευματων νοθυς, και ἑτερογενεις φυσεις προσεπιφυεσθαι ταυταις, οἱον λυκυ, πιθηκυ, λεοντος, τραγυ. ὡν τα ἰδιωματα περι την ψυχην φανταζομενα, τας ἐπιθυμιας της ψυχης τοις ζωοις ἐμφερως ἐξομοιυν λεγυσιν· ὡν γαρ ἰδιωματα φερυσι, τυτων τα ἐργα μιμουνται· και ὐ μονον ταις ὁρμαις και φαντασιαις των ἀλογων ζωων προσοικειουνται, ἀλλα και φυτων κινηματα και καλλη ζηλουσι, δια το και φυτων ἰδιωματα προσηρτημενα φερειν. ἐχει δε και ἑξεως ἰδιωματα, οἱον ἀδαμαντος σκληριαν. ἀλλα μεν προς τυ δογμα τυτο, διαλεξομεθα ὑςερον, ὁπηνικα περι ψυχης διαλαμβανομεν· νυν δε τυτο μονον παρασημειωτεον, ὡς δυρειυ τινος ἱππυ, κατα τον ποιητικον μυθον, εικονα σωζει ὁ κατα Βασιλειδην ἀνθρωπος, ἐν ἑνι σωματι τοσυτων πνευματων διαφορων ςρατον ἐγκεκολπισμενος.

Αὐτος γουν ὁ τυ Βασιλειδυ υἱος Ισιδωρος, ἐν τῳ Περι προσφυυς ψυχης, συναισθομενος τυ δογματος, οἱον ἑαυτυ κατηγορων, γραφει κατα λεξιν· "Εαν γαρ τινι „πεισμα δως, ὁτι μη ἐςιν ἡ ψυχη μονομερης, τῃ δε των „προσαρτηματων βια τα των χειρονων γινεται παθη, „προφασιν ὐ την τυχυσαν ἑξυσιν οἱ μοχθηροι των ἀν„θρωπων, λεγειν, Εβιασθην, ἀπηνεχθην, ἀκων ἐδρα„σα, μη βυλομενος ἐνηργησα· της των κακων ἐπιθυμιας „αὐτος ἡγησαμενος, και ὐ μαχεσαμενος ταις των προσ„αρτηματων βιαις. δει δε τῳ λογιςικῳ κρειττονας γε„νομενυς, της ἐλαττονος ἐν ἡμιν κτισεως φανηναι κρατυν„τας." δυο γαρ δη ψυχας ὑποτιθεται και ὑτος ἐν ἡμιν,

καθα-

in ea imprimit imaginem: & imprudens insciensque anima affectus circumfert imaginem, quæ ex inescatione & nostra assensione oritur.

Basilidis autem sectatores affectus consueverunt vocare προσαρτήματα, id est, appendices: & ea esse quoad essentiam Spiritus appensos animæ ratione prææditæ, per quandam conturbationem & confusionem primigeniam: & alias rursus spirituum adulterinas & diversi generis naturas iis adnasci, utpote lupi, simiæ, leonis, ursi: quorum proprietates animæ subinde occurrentes, ejus cupiditates animantibus dicunt assimilare. Quarum enim ferunt proprietates, earum opera factaque imitantur. Et non solum cum rationis expertium animantium appetitionibus & imaginibus accommodantur, sed etiam plantarum æmulantur motus & pulchritudines, propterea quod plantarum quoque adjunctas habeant proprietates: habent autem etiam habitus proprietates, utpote duritiem adamantis. Sed adversus hoc dogma quidem postea disseremus, quando de anima tractabimus: nunc autem hoc solum adnotandum est, quod Durii equi, ut est in poeticis fabulis, imaginem servat homo ex sententia Basilidis, ut qui in uno corpore tot diversorum spirituum exercitum habeat inclusum.

Ipse itaque filius Basilidis Isidorus, in libro De adnata anima, ejusdem dogmatis particeps, scribit his verbis, veluti seipsum accusans: "Si enim alicui per-„ suaseris non esse animam unius partis, vi autem ap-„ pendicum fieri deteriorum affectus, non levem præ-„ textum habebunt homines scelerati, dicendi, Co-„ actus sum, abductus sum, coactus feci, non vo-„ lens operatus sum: cum ipse dux fuerit malorum „ cupiditatis, & cum appendicum violentia non de-„ pugnarit. Oportet autem, ope partis rationalis fa-„ ctos superiores, minorem, quæ est in nobis crea-„ turam, superasse apparere." Is enim duas quoque

καθαπερ οἱ Πυθαγορειοι, περι ὧν ὑϛερον ἐπισκεψομεθα· Αλλα και Οὐαλεντινος, προς τινας ἐπιϛελλων, αὐταις λεξεσι γραφει περι των προσαρτηματων· "Εἱς δε ἐϛιν „ ὁ ἀγαθος· ȣ παῤῥησια ἡ δια τȣ υἱȣ φανερωσις· και δι' „ αὐτȣ μονȣ δυναιτο ἀν ἡ καρδια καθαρα γενεσθαι, παν- „ τος πονηρȣ πνευματος ἐξωθȣμενȣ της καρδιας· πολλα „ γαρ ἐνοικουντα αὐτη πνευματα, ȣκ ἐα καθαρευειν· „ ἑκαϛον δε αὐτων, τα ἰδια ἐκτελει ἐργα, πολλαχως „ ἐνυβριζοντων ἐπιθυμιαις ȣ προσηκȣσαις. και μοι δο- „ κει ὁμοιον τι πασχειν τω πανδοχειω ἡ καρδια· και „ γαρ ἐκεινο κατατιτραται τε και ὀρυττεται, και πολ- „ λακις κοπρȣ πιμπλαται, ἀνθρωπων ἀσελγως ἐμμε- „ νοντων, και μηδεμιαν προνοιαν ποιȣμενων τȣ χωριȣ, „ καθαπερ ἀλλοτριȣ καθεϛωτος. τον τροπον τȣτον και „ ἡ καρδια, μεχρι μη προνοιας τυγχανει ἀκαθαρτος ȣσα, „ πολλων ȣσα δαιμονων οἰκητηριον· ἐπειδαν δε ἐπισκε- „ ψηται αὐτην ὁ μονος ἀγαθος Πατηρ, ἡγιαϛαι, και φω- „ τι διαλαμπει· και ȣτω μακαριζεται ὁ ἐχων την τοιαυ- „ την καρδιαν, ὁτι ὀψεται τον Θεον."

Τις ȣν ἡ αἰτια τȣ μη προνοεισθαι ἐξ ἀρχης την τοιαυτην ψυχην· εἰπατωσαν ἡμιν. ἡτοι γαρ ȣκ ἐϛιν ἀξια· και πως ὡςπερ ἐκ μετανοιας ἡ προνοια προσεισιν αυτη; ἡ φυσις σωζομενη, ὡς αὐτος βȣλεται, τυγχανει· και ἀναγκη ταυτην, ἐξ ἀρχης δια συγγενειαν προνοȣμενην, μηδεμιαν παρεισδυσιν τοις ἀκαθαρτοις παρεχειν πνευμασιν, ἐκτος εἰ μη βιασθειη, και ἀσθενης ἐλεγχθειη. ἐαν γαρ δω μετανοησασαν αὐτην ἑλεσθαι τα κρειττω, τȣτ' ἐκεινος ἀκων ἐρει, ὁπερ ἡ παρ' ἡμιν ἀληθεια δογματιζει· ἐκ μεταβολης πειθηνιȣ, ἀλλ' ȣκ ἐκ φυσεως, την σωτηριαν. ὡςπερ γαρ αἱ ἀναθυμιασεις, αἱ τε γηθεν, αἱ τε ἀποτελματων, εἰς ὁμιχλας συνιϛανται και νεφελωδεις συϛροφας· ȣτως αἱ των σαρκικων ἐπιθυμιων ἀναδοσεις καχεξιαν προςτριβονται ψυχη, κατασκιδαννυȣσαι τα εἰδωλα της ἡδονης ἐπιπροσθεν της ψυχης. ἐπισκοτȣσι γȣν τω φωτι τω νοερω, ἐπισπωμενης της ψυχης τας ἐκ της ἐπιθυμιας ἀναδο-

in nobis ponit animas, ſicut Pythagorei, quas poſtea conſiderabimus. Quinetiam Valentinus ſcribens ad aliquos, his verbis utitur de appendicibus: " Eſt au-
„ tem unus bonus, cujus fiducia eſt ea, quæ fit per
„ Filium manifeſtatio, & per eum ſolum poteſt cor
„ fieri mundum, ejecto ex corde omni maligno ſpiri-
„ tu. Multi enim in eo habitantes ſpiritus, id mun-
„ dum eſſe non ſinunt. Unusquisque autem eorum
„ propria efficit opera, ſæpe non convenientibus in-
„ ſultans cupiditatibus. Ac mihi quidem videtur cor
„ non eſſe abſimile diverſorio: illud enim perforatur
„ & effoditur, & ſtercore ſæpe repletur, cum homi-
„ nes ſe petulanter gerant, & locum nihil omnino
„ curent, ut qui ſit alienus. Eodem modo cor quo-
„ que: cum, quamdiu nulla ejus providentia geritur,
„ ſit immundum & multorum dæmonum habitaculum:
„ poſtquam autem id inviſerit, qui ſolus eſt bonus
„ Pater, ſanctificatum eſt, & luce reſplendet: & ſic
„ qui tali corde eſt præditus, beatur, quoniam Deum
„ videbit, "

Quænam eſt ergo cauſa, quod non ab initio talis animæ cura ac providentia geratur, dicant nobis. Aut enim non eſt digna, & quodammodo ſicut ex pœnitentia accedit ad eam providentia, vel natura, ut ipſe vult, ſervatur? & neceſſe eſt eam, cum ab initio ejus cura geratur propter cognationem, immundis Spiritibus nullum dare aditum, niſi ei vis afferatur, & imbecilla probetur. Si enim dederit, eam pænitentia ductam, eligere quæ ſunt meliora, invitus dicet id, quod decernit, quæ eſt apud nos, veritas: nempe ex obediente mutatione, non autem ex natura, eſſe ſalutem. Quemadmodum enim exhalationes, cum e terra, tum e paludibus ortæ, in caliginem & nimbos conglobantur: ita etiam carnalium cupiditatum vapores malam animæ inurunt habitudinem, voluptatis ſpecies ante animam undique ſpargentes. In-

ἀναδοσεις, και παχυνσεως τας συςροφας των παθων, ἐνδελεχεια ἡδονων. χρυσος δε ἀπο γης ἐκ αἱρεται βωλος, ἀλλ' ἀφεψομενος διϋλιζεται. ἐπειτα καθαρος γινομενος, χρυσος ἀκουει, γη κεκαθαρμενη. Αἰτειθε γαρ, και δοθησεται ὑμιν, τοις ἐξ ἑαυτων ἑλεσθαι τα καλλιςα δυναμενοι λεγεται.

Οπως δε ἡμεις τε Διαβολε τας ἐνεργειας και τα πνευματα τα ἀκαθαρτα εἰς την τε ἁμαρτωλε ψυχην ἐπισπειρειν φαμεν, ἐ μοι δει πλειονων λογων, παραθεμενῳ μαρτυν τον Αποςολικον Βαρναβαν· ὁ δε, των ἑβδομηκοντα ἠν, και συνεργος τε Παυλου· κατα λεξιν ὡδε πως λεγοντα· "Προ τε ἡμας πιςευσαι τῳ Θεῳ, ἠν ἡμων το οἰκητη-„ριον της καρδιας φθαρτον και ἀσθενες, ἀληθως οἰκοδομη-„τος ναος δια χειρος· ὁτι ἠν πληρης μεν εἰδωλολατρειας, „και ἠν οἰκος δαιμονων, δια το ποιειν ὁσα ἠν ἐναντια τῳ „Θεῳ." τας ἐνεργειας οὐν τας τοις δαιμονιοις καταλληλως, ἐπιτελειν φησι τες ἁμαρτωλες· οὐχι δε αὐτα τα πνευματα ἐν τῃ του ἀπιςου κατοικειν ψυχῃ λεγει. δια τουτο και ἐπιφερει· "Προσεχετε ἱνα ὁ ναος τε Κυριου „ἐνδοξως οἰκοδομηθῃ πως· μαθετε λαβοντες την ἀφεσιν „των ἁμαρτιων. και ἐλπισαντες ἐπι το ὀνομα, γενωμε-„θα καινοι, παλιν ἐξ ἀρχης κτιζομενοι." ἐ γαρ οἱ δαιμονες ἡμων ἀπελαυνονται, ἀλλ' αἱ ἁμαρτιαι, Φησιν, ἀφιενται, ἁς ὁμοιως ἐκεινοις ἐπιτελεμεν πριν ἡ πιςευσαι. εἰκοτως ἐν ἀντεθηκε τα ἐπιφερομενα. "Διο ἐν τῳ κατ-„οικητηριῳ ἡμων ἀληθως ὁ Θεος· κατοικει ἐν ἡμιν· πως; ὁ „λογος αὐτε της πιςεως, ἡ κλησις αὐτε της ἐπαγγελιας, „ἡ σοφια των δικαιωματων, αἱ ἐντολαι της διδαχης."

Οἰδα ἐγω αἱρεσει τινι ἐντυχων· και ὁ ταυτης προϊςαμενος, δια της χρησεως ἐφασκεν της ἡδονης ἡδονῃ μαχεσθαι· αὐτομολων προς ἡδονην δια προσποιητε μαχης ὁ γενναιος οὑτος Γνωςικος· ἐφασκε γαρ δη αὐτον και Γνωςι-

κον

telligentiæ itaque luci tenebras offundunt, attrahente anima vapores concupiſcentiæ, & condenſante affectuum globos, ex perpetuo voluptatum uſu. Gleba e terra ſublata non eſt aurum, ſed coquitur & percolatur, deinde pura evadens, aurum vocatur, quod eſt terra purificata. *Petite* enim, *& dabitur vobis*, iis, qui ex ſeipſis poſſunt ea, quæ ſunt optima, eligere, dicitur.

Quomodo autem nos Diaboli operationes, & ſpiritus immundos in peccatoris animam ſeminare dicamus, non mihi pluribus verbis opus eſt, ſi adduxero teſtem Barnabam Apoſtolicum (erat autem is ex Septuaginta, & Pauli adjutor) his verbis ſic dicentem: " Antequam nos Deo crederemus, erat noſtrum cor-„ dis habitaculum interitui obnoxium & imbecillum, „ vere templum manu ædificatum: quia erat quidem „ plenum cultu idolorum, & erat domus dæmonum, „ quod faceret quæcunque Deo ſunt contraria." Operationes ergo Dæmonibus convenientes dicit peccatores efficere; non autem ait ipſos ſpiritus habitare in anima infidelis. Et ideo ſubjungit: " Attendite „ ut templum Domini glorioſe ædificetur. Diſcite „ vos accepiſſe remiſſionem peccatorum, & poſtquam „ ſperavimus in illud nomen, efficiamur novi, crea-„ ti rurſus ab initio." Non enim dæmones a nobis expelluntur, ſed peccata, inquit, remittuntur, quæ ſimiliter atque illi faciebamus, priuſquam crederemus. Merito ergo contra oppoſuit ea, quæ ſubjunguntur: " Quare in noſtro habitaculo vere Deus in-„ habitat: in nobis eſt. Quomodo? Verbum ejus „ fidei, vocatio ejus promiſſionis, ſapientia juſtifica-„ tionum, mandata doctrinæ."

Scio me in quandam incidiſſe hæreſim: cujus princeps dicebat ſe per uſum voluptatis pugnare cum voluptate, adeoque per ſimulatam pugnam ad voluptatem transfugit præclarus hic Gnoſticus. Se enim dicebat

νον εἶναι· ἐπει ὀυδεν μεγα ἐλεγεν το ἀπεχεσθαι ἡδονης μη πεπειραμενον, ἐν αὐτη δε γενομενον, μη κρατεισθαι· ὅθεν γυμναζεσθαι δι' αὐτης ἐν αὐτη. ἐλανθανεν δε ἑαυτον καταςοφιζομενος ὁ ἄθλιος, τη φιληδονω τεχνη. ταυτη δηλον οὐν τη δοξη και Ἀριςιππος ὁ Κυρηναιος προσβαλλει, του την ἀληθειαν αὐχουντος σοφιςου· ὀνειδιζομενος οὐν ἐπι τω συνεχως ὁμιλειν τη ἑταιρα τη Κορινθια· Ἐχω γαρ, ἐλεγεν, Λαϊδα, και ὀυκ ἐχομαι ὑπ' αὐτης. τοιουτοι δε και οἱ φασκοντες ἑαυτους Νικολαω ἑπεσθαι, ἀπομνημονευμα τι τἀνδρος φεροντες ἐκ παρατροπης, το δειν παραχρησθαι τη σαρκι. ἀλλ' ὁ μεν γενναιος κολουειν δειν ἐδηλου τας τε ἡδονας, τας τε ἐπιθυμιας· και τη ἀσκησει ταυτη καταμαραινειν τας της σαρκος ὁρμας τε και ἐπιθεσεις. οἱ δε, εἰς ἡδονην τραγων δικην ἐκχυθεντες, οἱον ἐφυβριζοντες τω σωματι, καθηδυπαθουσιν· ὀυκ εἰδοτες ὁτι το μεν, ῥακουται, φυσει ῥευςον ὀν· ἡ ψυχη δε αὐτων, ἐν βορβορω κακιας κατορωρυκται, δογμα ἡδονης αὐτης, ὀυχι δε ἀνδρος Ἀποςολικου, μεταδιωκοντων.

Τινι γαρ ὀυτοι Σαρδαναπαλου διαφερουσιν; οὑ τον βιον δηλοι το ἐπιγραμμα·

Ταυτ' ἐχω, ὁσσ' ἐφαγον, και ἐφυβρισα, και μετ' ἐρωτος
Τερπν' ἐπαθον· τα δε πολλα και ὀλβια κεινα, λελειπται.
Και γαρ ἐγω σποδος εἰμι, Νινου μεγαλης βασιλευσας.

καθολου γαρ ουκ ἀναγκαιον το της ἡδονης παθος, ἐπακολουθημα δε χρειαις τισι φυσικαις, πεινη, διψει, ῥιγει, γαμω. εἰ γουν ταυτης διχα πιειν οἱον τε ἠν, ἡ τροφης προσιεσθαι, ἡ παιδοποιειν, ἐδειχθη ἀν ὀυδεμια ἑτερα χρεια ταυτης. ουτε γαρ ἐνεργεια, ουτε διαθεσις,

ουδε

cebat esse Gnosticum: dicebat enim, nil magnum facere, si quis abstineret a voluptate, qui eam non esset expertus; sed eum, qui in ea versatus, non vinceretur: ideoque per eam dicebat se in ea exerceri. Seipsum autem miser imprudens decipiebat arte voluptaria. In eandem ergo, ut patet, venit sententiam Aristippus quoque Cyrenæus cum sophista, qui se jactat tenere veritatem. Cui cum probro daretur, quod cum meretrice Corinthia assidue versaretur: *Habeo*, inquiebat, *Laidem*, *sed ab ipsa non habeor*. Tales autem sunt etiam, qui dicunt se sequi Nicolaum, adducentes quoddam ejus viri adagium, sed ab eis detortum, nempe oportere carne abuti. Sed ille quidem vir præclarus significabat oportere voluptates arcere & cupiditates, & hac exercitatione marcidas flaccidasque reddere carnis appetitiones & insultus. Hi autem instar hircorum effusi in voluptatem, quodammodo corpus contumelia afficientes, in luxu & delitiis vitam agunt; nescientes quod id quidem, cum sit natura fluxum, deteritur; ipsorum autem infossa est anima in cœno vitii, ut qui decretum ipsius voluptatis, non autem viri Apostolici, sequantur.

Quid hi enim differunt a Sardanapalo? cujus vitam significat epigramma:

Hæc habeo, quæ edi, quæque exsaturata libido

Hausit, at illa jacent multa & præclara relicta.

Namque & ego cinis ecce, Nini rex maximus olim.

Non est enim omnino necessaria fruitio voluptatis, sed accessio & consequentia quædam naturalium necessitatum, famis, sitis, frigoris, matrimonii. Si itaque fieri posset, ut absque ea vel biberetur, vel alimentum susciperetur, vel liberi procrearentur, non posset ostendi alius ejus usus. Neque enim operatio,

ουδε μην μερος τι ἡμετερον ἡδονη· ἀλλ᾽ ὑπουργιας ἑνεκα παρηλθεν εἰς τον βιον, ὡςπερ τους ἁλας φασι, της παρατεψεως της τροφης χαριν. ἡ δε, ἀφηνιασασα και του οἰκου κατακρατησασα, πρωτην ἐπιθυμιαν γεννα. ἐφεσιν και ὀρεξιν οὐσαν ἀλογον του κεχαρισμενου αὐτῃ· και τον Ἐπικουρον τελος εἰναι του φιλοσοφου ἀνεπει. ἐ θεσθαι την ἡδονην. θειαζει γουν σαρκος εὐςαθες καταςημα, και το περι ταυτης πιςον ἐλπισμα. τι γαρ ἑτερον ἡ τρυφη, ἡ φιληδονος λιχνεια, και πλεονασμος περιεργος, προς ἡδυπαθειαν ἀνειμενων; ἐμφαντικως ὁ Διογενης ἐν τινι τραγῳδια γραφει·

Οἱ της ἀνανδρε και διεσκαπωμενης
Τρυφης ὑφ᾽ ἡδοναισιν ἀχθεντες κεαρ,
Πονειν ἐθελοντες ἐδε βαια —

και τα ἐπι τουτοις, ὁσα αἰσχρως μεν εἰρηται, ἐπαξιως δε των φιληδονων. Διο μοι δοκει θειος ὁ Νομος ἀναγκαιως τον φοβον ἐπαρταν, ἰν᾽ εὐλαβειᾳ και προσοχῃ την ἀμεριμνιαν ὁ φιλοσοφος κτησηται τε και τηρησῃ, ἀδιαπτωτος τε και ἀναμαρτητος ἐν πασι διαμενων. οὐ γαρ ἀλλως εἰρη η και ἐλευθερια περιγινεται, ἡ δια της ἀπαυςου και ἀναπαυδητε προς των παθων ἡμων ἀντιμαχησεως. ἐτοι γαρ οἱ ἀνταγωνιςαι παχεις και Ολυμπικοι, σφηκων, ὡς εἰπειν, εἰσι δριμυτεροι, και μαλιςα ἡ ἡδονη, ἐ μονον μεθ᾽ ἡμεραν, ἀλλα και νυκτωρ ἐν αὐτοις τοις ἐνυπνιοις μετα γοητειας δελεαςικως ἐπιβελευεσα και δακνοσα.

Πως οὐν ἐτι δικαιοι κατατρεχειν του Νομου Ἑλληνες, φοβῳ και αὐτοι την ἡδονην δουλεσθαι διδασκοντες; ὁ γουν Σωκρατης, φυλασσεσθαι κελευει τα ἀναπειθοντα μη πεινωντας ἐσθιειν, και μη διψωντας πινειν· και τα βλεμματα και τα φιληματα των καλων, ὡς χαλεπω-

τερα

ratio, neque affectio, sed neque aliqua pars nostri est voluptas; sed vicarii ministerii gratia in vitam accessit, quemadmodum dicunt accessisse sales nutrimenti concoquendi causa. Ea autem effrænata, & domus administrationem vi sibi usurpans, primam generat concupiscentiam, quæ est a ratione alienum desiderium, & appetitus ejus, quod ei gratificatur. Ea Epicuro persuasit, ut philosophi finem poneret voluptatem. Divinam itaque rem is esse statuit, firmum ac stabilem carnis habitum, & certam de bona ejus valetudine spem. Quid enim est aliud luxus, quam intemperata liguritio, & opipara redundantia eorum, qui delitiis ac voluptatibus dediti sunt? Significanter scribit Diogenes in quadam tragœdia:

Effœminatis queis mere ac fœtentibus
Cor alligatum est usque & usque luxibus.
Qui nec laboris diligunt tantillulum:

& quæ deinceps sequuntur: quæ turpiter quidem dicta sunt, sed pro meritis eorum qui sunt dediti voluptati. Divinitus itaque mihi videtur Lex voluisse, ut metus impenderet necessario, ut solicitudinis vacuitate per cautionem & attentionem comparata, & conservata, philosophus, a lapsu alienus, & peccato non affinis, in omnibus permaneret. Pax enim & libertas non aliter accedit, quam per perpetuam & indefatigabilem adversus animi nostri motus repugnantiam. Sunt enim hi adversarii crassi & Olympici, & vespis, ut ita dicam, acriores: & maxime voluptas, quæ non solum interdiu, sed etiam noctu in ipsis insomniis, nos cum præstigiis inescando, insidiatur & mordet.

Quomodo ergo possunt adhunc Græci jure Legem insectari, cum ipsi quoque voluptatem doceant servire metui? Socrates itaque jubet *cavere ab illecebris, quæ suadent, ut non esurientes comedamus, & bibamus non sitientes; & pulcrorum obtutibus & osculis, ut quæ*

soleant

τερον σκορπιων και Φαλαγγιων ἰον ἐνιεναι πεφυκοτα. και Αντισθενης δε μανηναι μαλλον ἡ ἡσθηναι αἱρειται. ὁ τε Θηβαιος Κρατης,

Των δε· Φησι· κρατει, ψυχης ἠθει ἀγαλλομενη,
Οὐθ' ὑπο χρυσιων δουλουμενη, οὐθ' ὑπ' ἐρωτων
Τηξιποθων· ἐδ' ἐτι συνεμποροι εἰσι Φιλυβρι.

και το ὁλον ἐπιλεγει·

Ηδονη ἀνδραποδωδει ἀδελωτοι και ἀκναπτοι,
Αθανατον βασιλειαν ἐλευθεριαν τ' ἀγαπωσιν.

οὑτος ἐν ἀλλοις εὐθυρημονως γραφει, Της εἰς τα ἀφροδισια ἀκατασχετε ὁρμης καταπλασμα εἰναι λιμον· εἰ δε μη, βροχον. Ζηνωνι δε τῳ Στωϊκῳ την διδασκαλιαν μαρτυρουσι, και τοι διασυροντες, οἱ Κωμικοι, ὡδε πως·

Φιλοσοφιαν καινην γαρ ὑτος φιλοσοφει.
Πεινην διδασκει, και μαθητας λαμβανει·
Εἱς ἀρτος, ὀψον ἰσχας, ἐπιπιειν ὑδωρ.

παντες δη οὑτοι ὐκ αἰσχυνονται σαφως ὁμολογειν την ἐκ της εὐλαβειας ὠφελειαν· ἡ δε ἀληθης και οὐκ ἀλογος σοφια, οὐ λογοις ψιλοις και θεσπισμασι πεποιθυια, ἀλλα σκεπαστηριοις ἀτρωτοις και μυστηριοις δραστικοις, ταις θειαις ἐντολαις συγγυμναστια τε και συνασκησει μελετωσα, δυναμιν θειαν κατα το ἐμπνεομενον μερος αὐτης ὑπο τε Λογε λαμβανει. ἠδη γουν και τε ποιητικου Διος την αἰγιδα γραφεσι

Δεινην· ἡν περι μεν παντη Φοβος ἐστεφανωται·
Εν δ' ἐρις, ἐν δ' ἀλκη, ἐν δε κρυοεσσα ἰωκη·
Εν δε τε Γοργειη κεφαλη δεινοιο πελωρου·
Δεινη τε σμερδνη τε, Διος τερας αἰγιοχοιο.

Τοις δε το σωτηριον διοραν ὀρθως δυναμενοις, οὐκ οἰδα εἰ τι Φιλτερον Φανησεται της τε σεμνοτητος τοῦ Νομου, και της θυγατρος αὐτου εὐλαβειας. ἀλλα γαρ ὁταν ὑπερτονον ᾀδειν λεγηται, ὡσπερ και ὁ Κυριος ἐπι τινας, ἱνα μη τινες των ζηλουντων αὐτον, ἐκτονον και ἀποχορδον ᾀσωσιν, οὑτως ἀκουω, οὐχ ὡς ὑπερτονον, ἀλλα τοις μη βουλομενοις ἀναλαβειν τον θειον ζυγον, τουτοις ὑπερ-

τονον·

soleant scorpiis & araneis gravius venenum immittere. Antisthenes autem vult *potius insanire, quam voluptate* affici. Et Crates Thebanus ait:

Hæc vincas, rectis exultans moribus, atque
Te auro haud addicens cupidis nec amoribus unquam
Servam: nec servatores sunt amplius ulli.

Et tandem infert:

Mancipat at quem non turpis tangitque voluptas,
Regnum immortale, & libertas huic quoque amatur.

Hic autem alibi expresse scribit, *Rerum venerearum effrænati desiderii cataplasma esse famem: sin minus autem, laqueum.* Zenonis autem Stoici quænam esset doctrina, testantur Comici, etiam dum eam insectantur, hoc modo:

Sapientiam iste Zeno quam vanam docet,
Quippe esurire qui suos tantum docet,
Panis sit unus, caricaque, & aquam bibas.

Hi omnes utique non erubescunt aperte confiteri eam, quæ ex cautione accipitur, utilitatem. Quæ est autem vera & non expers rationis, sapientia, non solis verbis confidens & decretis, sed tegumentis invulnerabilibus & mysteriis efficacibus, in divinis præceptis meditans, & se exercens, vim divinam per eam, quæ inspirata est, partem a Logo seu ratione accipit. Jam vero Poetici quoque Jovis depingunt ægidem

Terribilem, Timor immensus quam cingit & ambit.
Lis quoque inest: & Vis urgens, & frigidus Horror,
Gorgoneumque caput, monstrum olim quod fuit ingens,
Terribile, horrendum, ostentum Jovis ægida habentis.

Iis autem, qui id, quod est salutare, recte possunt perspicere, nescio an quid videbitur amabilius honestate ac gravitate Legis, & ejus filia cautione ac religione. Verumenimvero quando aliquis nimis intensum, & quod justum tonum excedat dicatur canere, sicut etiam Dominus in aliquos, ne aliqui ex iis, qui eum æmulantur ac sequuntur, aliquid canant, quod

τονον· τοις γαρ ἀτονοις και ἀσθενικοις, το μετριον ὑπερτονον δοκει· και τοις ἀδικοις ἀκροδικαιον, το ἐπιβαλλον. ὁσους γαρ δια το φιλικως προς ἁμαρτιας ἐχειν ἡ συγγνωμη παρειςερχεται, οὑτοι την ἀληθειαν ἀπηνειαν ὑπολαμβανουσιν· και την αὐςηριαν, ἀποτομιαν· και ἀνηλεη, τον μη συναμαρτανοντα, μηδε συγκατασπωμενον. εὐ γουν ἡ τραγωδια ἐπι τε Αϊδε γραφει·

Προς δ' οἱον ἡξεις δαιμονα, ὡς ἐρωτα·
Ος ἐτε τοὐπιεικες, ἐτε την χαριν
Ηδει· μονον δ' ἐςεργε την ἁπλως δικην.

[illegible] φαιτεται, δι' ὡν φησι περι των ἀνθρωπων δια-λεγομενος· [illegible] μενει ἀποθανοντας ἅσσα ὐκ ἐλ-[illegible]. Θειως οὐν ὁ Παυλος Ρωμαιοις ἀν-[illegible] ἡ θλιψις, ὑπομονην κατεργαζεται· [illegible] ἡ δε δοκιμη ἐλπιδα· ἡ δε ἐλ-[illegible] δι' ἐλπιδα μεν γαρ την μελλουσαν, [illegible] ἐλπις δε ὁμωνυμως, και ἡ της ἐλπιδος ἀπο-[illegible] και ἀποκαταστασις· ἡ και οὐ καταισχυνει μη-[illegible] ἐτι· ὁ δε ψιλη κλησει, καθο κεκληται, [illegible], ουτε δια φοβον, ουτε δια ἡδονας ἐπι τη-[illegible] ἰεται· ὐ γαρ περισκεπτεται, εἰ τι λυσιτελες ἐξω-θεν ἐπεται κερδος ἡ ἀπολαυσις αὐτῳ· ἀγαπη δε του ὀντως ὀντος ἐραστου ἑλκομενος, και προς το δεον ἀγομε-νος, θεοσεβει· ὁθεν οὐδ' εἰ καθ' ὑποθεσιν ἐξουσιαν λα-βοι παρα του Θεου πραττειν τα ἀπηγορευμενα, ἀτιμω-ρητος τε ὠν· οὐδ' εἰ και μισθον τα μακαρων ἀγαθα λη-ψεσθαι ἐπι τοισδε ἐπαγγελιαν προσλαβοι ἀλλ' εἰ και λησεσθαι τον Θεον ἐφ' οἱς πραττει πεισθειη· ὁπερ ἀδυ-νατον· πραξαι τι παρα τον λογον τον ὀρθον ἐθελησαι ποτ' ἀν, το ὀντως καλον και αἱρετον ἐξ ἑαυτε και ταυ-τη ἀγαπητον εἰναι ἁπαξ ἑλομενος. ὐ γαρ ἐν γαστρος βο-ρα το χρηστον εἰναι διειληφαμεν. ἀκηκοεν δ' ἐκεινος, ὡς βρωμα ἡμας ὐ παραστησει, οὐδε μην γαμος, ἀλλ' ὐδε ἀποχη γαμου ἐν ἀγνωσια, ἀλλα το κατ' ἀρετην ἐργον το γνωστικον· ἐπει και ὁ κυων το ζωον το ἀλογον, ἐγκρατης λεγεσθω, τον ἐπαιρομενον την βακτηριαν δεδιος, και δια τυτο τυ ὀψου ἀπεχομενον. των τοιυτων εὐ ἰσθι ὁτι περιαιρεθεισα ἡ ὑποσχεσις ἡ προεπηγγελμενη, και ὁ φο-βος περιγραφεις ὁ ἐπηπειλημενος, και χωρισθεις ὁ κινδυ-νος ὁ ἐπηρτημενος, την προθεσιν ἐλεγχει.

κγ. Οὐ γαρ αὐτη τη φυσει του πραγματος οἰκειου-ται, ὡς τῳ ὀντι γνωστικως καταλαβεσθαι, καλα μεν εἰναι

tuos manent, quæ non sperant, nec exspectant. Divine ergo Paulus aperte scribit ad Romanos: *Afflictio patientiam operatur, patientia vero probationem, probatio autem spem, spes vero pudore non afficit.* Propter spem enim futuram est patientia: *spes* autem est etiam æquivoce spei redditio & restitutio; quæ etiam *pudore non afficit*, ut quæ probris & contumeliis non amplius afficiatur. Qui autem nudæ vocationi, quatenus vocatus est, obedit, is neque propter timorem, neque propter voluptates, tendit ad cognitionem. Non enim considerat, an aliquod utile lucrum vel delectatio aliqua extrinsecus consequatur, sed tractus a dilectione ejus, qui vere est amabilis, & ad id, quod fieri oportet, adductus, pius est Dei cultor. Unde nec si per hypothesin a Deo acceperit potestatem faciendi ea, quæ sunt prohibita, citra ullam pœnam: neque si propterea beatorum bona accepturum eum esse, ei promissum fuerit: sed nec si persuasum habuerit fore, ut Deum lateant ea, quæ gerit (quod quidem fieri non potest) in animum unquam est inducturus, ut aliquid agat præter rectam rationem, cum id, quod vere est honestum, & ex seipso eligendum, & ea ratione expetendum amandumque, semel elegerit. Non enim in esca ventris bonum esse situm accepimus. Audivit autem ille, quod *cibus nos non commendabit*, neque matrimonium, sed neque abstinentia a matrimonio in ignoratione, sed opus gnosticum ex virtute. Nam canis quoque, qui est animal expers rationis, sic dicatur esse continens, dum eum timet qui tollit baculum, & ideo a cibo abstinet. Quod si ablata fuerit promissio illis facta, si timor intentatus præcisus fuerit, & periculum impendens evanuerit, tum certo scias, statim appariturum fore illorum propositum.

XXIII. Non enim ipsi rei naturæ se accommodant, ut revera gnostica comprehendant, esse qui-

... ἀπο ... χρησιν ἡμων ἐκτισθη· ὡς γαμον, ... παιδοποιΐαν, μετα σωφροσυνης παρει... δε εἰναι ἀμεινον, την προς το Θειον ἐξο... και ἐναρετον γενεσθαι. τοις δε ἐξωθεν ... προσαγομενοις, των μεν, ἀπε... των δ' ὐ· ἀλλα και ὡν ἀφιςανται μυσαττομε... ταυτα φαινονται την κτισιν και τον Δημιουργον δια... χἀν τῳ δοκειν πιςως ἀναςρεφονται, την κρι... ἐχουσιν ἀνοσιον· το δε, Οὐκ ἐπιθυμησεις, οὐτε ἀναγ... της ἐκ φοβου δειται, της βιαζομενης ἀπεχεσθαι των ἡδεων· οὐτε μισθου, τȣ δι' ἐπαγγελιας ἀναπειθοντος ἀνακοπτειν τας ὁρμας. οὐτε την ὑπακοην δια την ἐντολην, δια δε την ἐπαγγελιαν αἱρουνται, οἱ δια της ἐπαγγελιας ὑπακηκοοτες τῳ Θεῳ, δελεατι ἡδονης ἠρημενοι. οὐδε μην ἡ των αἰσθητων ἀποςροφη, την προς τα νοητα οἰκειωσιν ἀκολουθως ποιοιη ἀν· ἐμπαλιν δε, ἡ προς τα νοητα οἰκειωσις, κατα φυσιν περιαγωγη τῳ γνωςικῳ ἀπο των αἰσθητων γινεται, κατ' ἐκλογην των καλων τἀγαθον ἑλομενῳ γνωςικως, θαυμαζοντι μεν την γενεσιν, και ἁγιαζοντι τον ποιητην, ἁγιαζοντι δε την προς το Θειον ἐξομοιωσιν. Αταρ ἐγω ἐμε λυσομαι της ἐπιθυμιας, φησαι, δια την προς σε οἰκειωσιν, Κυριε. καλη γαρ ἡ κτισθεισα δη οἰκονομια, και παντα εὐ διοικειται, οὐδεν ἀναιτιως γινεται· ἐν τοις σοις εἰναι με δει, Παντοκρατορ· κἀν ἐνταυθα ὡ, παρα σοι εἰμι· ἀδεης δ' εἰναι θελω, ἱνα σοι συνεγγιζειν δυνηθω, ὀλιγοις και ἀρκεισθαι, μελετων την σην ἐκλογην την δικαιαν των καλων ἀπο των ὁμοιων.

Μυςικωτατα και ὁσιωτατα ὁ Αποςολος, διδασκων ἡμας την ἀληθως εὐχαριςον ἐκλογην, οὐ κατα ἀπεκλογην των

dem bona omnia, quæ creata sunt ad usum nostrum: ut matrimonium, verbi gratia, & liberorum procreationem, si iis uteremur cum temperantia, bonum autem esse melius, ut quis per eam, quæ est Deo, assimilationem, evadat impatibilis & virtute præditus. Sed ex iis, quæ extrinsecus adducuntur, bonis, vel malis, ab aliis quidem abstinent, ab aliis vero minime. Verum in iis, a quibus abstinent abhorrentes, creaturam & Opificem cernuntur accusare: & licet ipsa specie versentur fideliter, habent tamen impium judicium. Illud autem, *Non concupisces*, neque necessitate eget, quæ per timorem incussa, cogit abstinere a suavibus: neque mercede, quæ per promissionem persuadeat reprimere appetitiones. Neque obedientiam propter mandatum, sed propter promissionem eligunt, qui Deo propter promissa obediunt, a voluptate inescati. Sed neque aversatio a rebus sensilibus necessario infert conjunctionem cum iis, quæ percipiuntur intelligentia: contra autem, conjunctio cum iis, quæ intelligentia percipiuntur, hominem Gnosticum naturaliter convertit a rebus sensilibus: ut qui per eorum, quæ sunt pulcra, electionem, bonum gnostice elegerit, & admiretur generationem, & sanctificet Creatorem; una tamen sanctificet eam, quæ fit Deo, assimilationem. Sed ego me liberabo, dixerit, a cupiditate, o Domine, ut mihi tecum intercedat conjunctio: pulcra enim est, quæ utique creata est, dispensatio, & omnia recte administrantur, & nihil fit sine causa. In tuis me esse oportet, o Omnipotens, & licet hic fuero, sum apud te: sed volo expers esse metus, ut ad te possim appropinquare, & paucis etiam contentus, tuam imitans justam electionem, quæ bonos a similibus discernit.

Mystice admodum & sancte nos docens Apostolus eam, quæ vere grata est, electionem, non alia

των ἑτερων εἰς φαυλον. ἀλλ' ὡς καλον καλλιονα ποιουσα. [illegible] αὐτων· Ωςε και ὁ γαμιζων την παρθενον αὐτου, καλως ποιει· και ὁ μη γαμιζων, κρεισσον ποιει. προς το εὐσχημον και εὐπαρεδρον τῳ Κυριῳ ἀπερισπαςως. ὁπου δε τα μεν δυσποριςα, οὐκ ἀναγκαια· τα δε ἀναγκαια, εὐποριςα γεγενησθαι φιλαγαθως παρα του Θεου. ὡσπερ δε Δημοκριτος εὐ λεγει, ὡς ἡ φυσις τε και ἡ διδαχη παραπλησιον ἐςι· και την αἰτιαν συντομως προσαπεδωκεν· και γαρ ἡ διδαχη μεταρυθμιζει τον ἀνθρωπον· μεταρυθμουσα δε, φυσιοποιει· και διαφερει οὐδεν, ἡ φυσει πλασθηναι τοιονδε, ἡ χρονῳ και μαθησει μετατυπωθηναι. ἀμφω δε ὁ Κυριος παρεσχηται· το μεν, κατα την δημιουργιαν· το δε, κατα την ἐκ της διαθηκης ἀνακτισιν τε και ἀνανεωσιν. το δε συμφερον τῳ κυριωτερῳ, τουτο αἱρετωτερον· κυριωτατον δε παντων, ἡ διανοια· οὐτω τοινυν τῳ ὀντι καλα φαινεται ἠδη. παρ' αὐτου δε ποριζεται ὀν ποθει καρπον, την της ψυχης εὐςαθειαν· Ο δε ἐμου ἀκουων, φησιν, ἀναπαυσεται ἐπ' εἰρηνῃ πεποιθως, και ἡσυχασει ἀφοβως ἀπο παντος κακου. Ιθι πεποιθως ἐν ὁλῃ καρδιᾳ σου και τῃ διανοιᾳ σου ἐπι τῳ Θεῳ. τουτῳ δυνατον τῳ τροπῳ τον γνωςικον ἠδη γενεσθαι Θεον· Εγω εἰπα, Θεοι ἐςε και υἱοι ὑψιςου. φησι δε και ὁ Εμπεδοκλης, των σοφων τας ψυχας Θεους γινεσθαι, ὡδε πως γραφων·

Εἰς δε τελος, μαντεις τε, και ὑμνοπολοι, και ἰητροι,
Και προμοι ἀνθρωποισιν ἐπιχθονιοισι πελονται·
Ενθεν ἀναβλαςουσι Θεοι τιμησι φεριςοι.

Ο μεν οὐν ἀνθρωπος ἁπλως οὑτος κατ' ἰδιαν πλαττεται του συμφυους πνευματος· οὐδε γαρ ἀνειδεος, οὐδ' ἀσχηματιςος ἐν τῳ της φυσεως ἐργαςηριῳ δημιουργειται, ἐνθα μυςικως ἀνθρωπου ἐκτελειται γενεσις, κοινης οὐσης, και της τεχνης, και της οὐσιας· ὁ δε τις ἀν-

tanquam mala reprobanda, sed bonis alia consenda esse meliora, significavit dicens: *Quare & qui matrimonio jungit virginem suam, bene facit: & qui non jungit, melius facit ad id, quod honestum est, & facultatem præbet indivulse Domino assidendi.* Scimus autem ea, quæ difficulter quidem parari possunt, non esse necessaria: quæ autem sunt necessaria, paratu facilia benignitate Dei esse facta. Quamobrem bene dicit Democritus. *Naturam & doctrinam rem esse persimilem.* Causam autem breviter reddidimus. Doctrina enim hominem concinnat & componit; concinnans autem ac componens, naturam ei tribuit: neque interest, an fuerit natura effectus talis, an tempore & disciplina transformatus. Utrumque autem præbuit Dominus, illud quidem per creationem, hoc vero per recreationem & renovationem, quæ fit ex Testamento. Quod autem conducit ei, quod est magis principale, id est magis eligendum: est autem omnium maxime principale, mens. Sic ergo videntur ea, quæ vere bona sunt, esse jucundissima; & ex se præbent eum, quem desiderant, fructum, nempe animæ tranquillitatem. *Qui autem me audit*, inquit, *requiescet in pace confidens, & sine metu conquiescet ab omni malo. Confide in toto corde tuo & mente tua in Deo.* Hoc modo fieri potest, ut vir gnosticus jam Deus evaserit. *Ego dixi, dii estis, & filii altissimi.* Dicit autem Empedocles quoque, sapientium animas deos fieri, hoc modo scribens:

Postremo vates, & qui hymnos carmine cantant,
Et medicique, ducesque viris mortalibus adsunt.
Hinc existunt dii, sunt quorum maxime honores.

Atque homo quidem absolute ac generatim sumtus formatur secundum ideam spiritus sibi congeniti. Neque enim sine forma & specie creatur in officina naturæ, ubi hominis generatio mystice perficitur, cum sit communis & ars & essentia. Homo autem

θρωτος, κατα τυπωσιν την ἐγγινομενην τῃ ψυχῃ, ὡν αἱ αἱρησηται, χαρακτηριζεται. ἡ και τον Αδαμ τελειον μεν, ὡς προς την πλασιν, γεγονεναι φαμεν· οὐδεν γαρ των χαρακτηριζοντων την ἀνθρωπου ἰδεαν τε και μορφην, ἐνεδεησεν αὐτῳ· ὁ δε ἐν τῳ γινεσθαι την τελειωσιν ἐλαμβανεν, και δι' ὑπακοης ἐδικαιουτο, τουτο ἠν ἀπανδρουμενον, το ἐπ' αὐτῳ κειμενον· αἰτια δε ἑλομενου, και ἐτι μαλλον το κωλυθεν ἑλομενου· ὁ Θεος, ἀναιτιος. διττη γαρ ἡ γενεσις· ἡ μεν, των γεννωμενων· ἡ δε, των γινομενων. και ἡ μεν του ἀνθρωπου ἀνδρεια, ἐμπαθους ὀντος, φασι κατα την οὐσιαν, ἀφοβον και ἀηττητον τον μετεχοντα αὐτης ποιει, και ἐςι δορυφορος τε νου ὁ θυμος ἐν ὑπομονῃ, και καρτεριᾳ, και τοις ὁμοιοις· ἐπι δε τῃ ἐπιθυμιᾳ ταττεται και ἡ σωφροσυνη, και ἡ σωτηριος φρονησις.

Θεος δε, ἀπαθης, ἀθυμος τε και ἡ ἀνεπιθυμητος· και οὐ ταυτῃ ἀφοβος, ἡ τα δεινα ἐκ ἐκκλινει· ἐδε μην σωφρων, ἡ των ἐπιθυμιων ἀρχει· ἐτε γαρ ἀν περιπεσοι τινι δεινῳ ἡ τε Θεου φυσις· ἐτε φευγει ὁ Θεος δειλιαν· ὡςπερ ἐδε ἐπιθυμησει, ἱνα και ἀρξῃ ἐπιθυμιας. μυςικως οὐν ἐφ' ἡμων και το Πυθαγοριον ἐλεγετο, ἑνα γενεσθαι και τον ἀνθρωπον δειν· ἐπει και αὐτος ὁ ἀρχιερευς εἱς, ἑνος ὀντος τε Θεε κατα την ἀμετατρεπτον τε ἀει θειν τα ἀγαθα ἑξιν. αὐτικα ὁ σωτηρ δια της ἐπιθυμιας συνανῃρει και τον θυμον, τιμωριας ὀντα ἐπιθυμιαν· καθολου γαρ το παθητικον παντι γενει ἐπιθυμιας. εἱς δε την ἀπαθειαν θεουμενος ἀνθρωπος ἀχραντως, μοναδικος γινεται. καθαπερ ἐν οἱ ἐν θαλαττῃ ἀπο ἀγκυρας τονου-

μενοι,

hic quispiam, seu homo singularis, characterem suscipit ex forma animæ insita ex iis, quæ elegerit. Qua ratione Adam quoque dicimus fuisse perfectum, quod attinet ad formationem: nihil enim ei defuit ex iis, quæ homini formæ & speciei characterem tribuunt. Quod autem dum fieret, accepit perfectionem, & justificatum est per obedientiam, hoc erat, quod in virum crescebat, nempe id, quod in ejus potestate erat situm, seu, liberum arbitrium. Quod autem elegerit, atque adeo quod vetitum elegerit, non est culpa in Deum, sed in eligentem conferenda. Duplex enim est generatio, una quidem eorum, quæ gignuntur; altera vero eorum, quæ fiunt. Et hominis quidem virilitas & fortitudo, cum sit, ut ajunt, sua essentia perturbationibus obnoxius, reddit metus expertem & insuperabilem eum, qui est ejus particeps, adeo ut ira sit tanquam mentis satelles in patientia, & tolerantia, & iis, quæ sunt similia: cupiditati autem præficitur temperantia, & salutaris prudentia.

Deus autem est impatibilis, iræque expers & cupiditatis. Is autem non ideo dicitur metus expers, quod non declinat quæ sunt terribilia. Sed neque est temperans, qua imperat cupiditatibus: neque enim in terribile aliquid Dei natura inciderit, neque fugit Deus timorem; sicut nec concupiscet, ut ei necesse sit imperare cupiditati. Mystice ergo apud nos quoque dictum est illud Pythagoreum, *Oportere hominem quoque fieri unum.* Nam ipse quoque Pontifex est unus, cum sit unus Deus per immutabilem habitum, quo bona semper *currunt.* Jam vero Servator sublata cupiditate, una etiam sustulit iram, quæ est vindictæ cupiditas. Nam universim patibilitas est in quovis genere cupiditatis. Qui autem per impatibilitatem homo, Deus efficitur citra ullum inquinamentum, fit *unicus.* Quo modo ergo qui in mari ab an-

μενοι, ἑλκουσι μεν την ἀγκυραν· ὐκ ἐκεινην δε ἐπισπωνται, ἀλλ' ἑαυτους ἐπι την ἀγκυραν· οὑτως οἱ κατα τον γνωςικον βιον ἐπισπωμενοι τον Θεον, ἑαυτους ἐλαθον προσαγομενοι προς τον Θεον· Θεον γαρ ὁ θεραπευων, ἑαυτον θεραπευει. ἐν οὐν τῳ θεωρητικῳ βιῳ ἑαυτου τις ἐπιμελειται, θρησκευων τον Θεον, και δια της ἰδιας εἱλικρινους καθαρσεως ἐποπτευει τον Θεον, ἁγιον ἁγιως· ἡ γαρ σωφροσυνη ἐν παραςασει γενομενη, ἑαυτην ἐπισκοπουσα και θεωρουσα ἀδιαλειπτως, ἐξομοιουται κατα δυναμιν Θεῳ.

κδ'. Αὐτικα το ἐφ' ἡμιν ἐςιν, οὗπερ ἐπ' ἰσης αὐτου τε κυριοι ἐσμεν, και του ἀντικειμενου αὐτῳ, ὡς το φιλοσοφειν, ἠ μη· και το πιςευειν, ἠ ἀπιςειν. δια γ' οὐν το ἑκατερου των ἀντικειμενων ἐπ' ἰσης εἰναι ἡμας κυριους, δυνατον εὑρισκεται το ἐφ' ἡμιν. και δη αἱ ἐντολαι δυνανται γενεσθαι, και μη γενεσθαι ὑφ' ἡμων· οἱς εὐλογως ἑπεται ἐπαινος τε και ψογος· οἱτ' αὐ κολαζομενοι ἑνεκεν των γενομενων αὐτοις ἁμαρτηματων, ἐπ' αὐτοις μονοις κολαζονται· παρηλθε γαρ τα γενομενα, οὐδε ἀγενητον γενοιτ' ἀν ποτε το γενομενον. ἀφιενται γ' οὐν προς του Κυριου αἱ προ της πιςεως, οὐχ ἱνα μη ὡσι γενομεναι, ἀλλ' ὡς μη γενομεναι. πλην οὐ πασας ὁ Βασιλειδης φησι, μονας δε τας ἀκουσιους και κατα ἀγνοιαν ἀφιεσθαι· καθαπερ ἀνθρωπου τινος, ἀλλ' οὐ Θεου, την τοσαυτην παρεχομενου δωρεαν. τουτῳ φησιν ἡ Γραφη· Ὑπελαβες, ἀνομε, ὁτι ἐσομαι σοι ὁμοιος. ἀλλ' εἰ και ἐπι ταις ἑκουσιοις κολαζομεθα, οὐχ ἱνα μη γενωνται γενομεναι, ἀλλ' ὁτι ἐγενοντο, τιμωρουμεθα. κολασις δε τον ἁμαρτησαντα οὐκ ὠφελει εἰς το μη πεποιηκεναι, ἀλλ' εἰς το μηκετι ἁμαρτανειν, μηδε μην ἀλλον τινα τοις ὁμοιοις περιπεσειν. Ἐνταυθα οὐν ὁ ἀγαθος Θεος, δια τρεις ταυτας παιδευει αἰτιας· πρωτον μεν, ἱν' αὐτος ἀμεινων αὐτου γενηται ὁ παιδευομενος· ἐπειτα, ὁπως οἱ δι' ὑποδειγματων σωζεσθαι δυναμενοι προανακρουωνται νουθετουμενοι· και τριτον, ὡς μη ὁ ἀδικουμενος εὐκαταφρονητος ᾐ, και ἐπιτηδειος ἀδικεισθαι. Δυο δε και τροποι της ἐπανορθω-

σεως

cora stabiliuntur, trahunt quidem ancoram, non illam autem attrahunt, sed seipsos ad ancoram: ita qui per vitam gnosticam Deum attrahunt, non advertentes, seipsos ad Deum adducunt. Qui enim Deum colit, seipsum colit. In vita ergo, quæ versatur in contemplatione, sui quis curam gerit, dum Deum veneratur, & se syncere purgato Deum sanctum sancte contemplatur. Quæ enim assistit temperantia, seipsam assidue considerans & contemplans, Deo, quoad fieri potest, assimilatur.

XXIV. Jam vero id est in nostra potestate, cujus ex æquo sumus domini cum eo, quod ei adversatur: ut philosophari, vel non: & credere, aut non credere. Per hoc ergo, quod sumus æque domini utriusque eorum, quæ inter se adversantur, invenitur fieri posse id, quod est in nostra potestate. Quinetiam præcepta ejusmodi a nobis possunt fieri & non fieri, quæ consentaneum est, ut consequatur laus & vituperatio: & qui puniuntur propter ea, quæ ab ipsis admissa sunt, peccata, propter ipsa sola puniuntur. Præterierunt enim ea, quæ facta sunt: neque fieri potest, ut sit unquam infectum, quod factum est. Dimittuntur ergo per Dominum, quæ facta sunt ante fidem, non ut facta non sint, sed ut sint tanquam non facta. Sed ne omnia quidem, dicit Basilides, sed sola dimitti involuntaria, & quæ fiunt per ignorationem; perinde ac si homo aliquis, non Deus, tam magnum præberet donum. Huic dicit Scriptura; *Existimasti, o impie, quod ero tui similis.* Sed etsi punimur propter voluntaria, non ut desinant esse facta, cum facta fuerint, sed quod facta sint, punimur. Punitio autem non juvat eum, qui peccavit, ad hoc ut non fecerit, sed ad hoc ut non peccet amplius, neque ullus alius incidat in similia. Hic ergo bonus Deus castigat propter has tres causas: primum quidem, ut is, qui castigatur, seipso melior evadat:

σεως· ὁ μεν, διδασκαλικος· ὁ δε, κολαςικος, ὃν και παιδευτικον ειρηκαμεν· ἰςεον μεν τοι, τες μετα το λετρον τοις ἁμαρτημασι περιπιπτοντας, τετες ειναι τες παιδευομενες· τα μεν γαρ προεπεργηθεντα, ἀφειθη· τα δε ἐπιγινομενα, ἐκκαθαιρεται. περι των ἀπιςων ειρηται, λελογισθαι τετες ὡς χνουν, ὃν ἐκριπτει ὁ ἀνεμος ἀπο προσωπε της γης, και ςαγονα την ἀπο καδε.

κε. Ολβιος, ὁςις της ἱςοριας|ἐσχε μαθησιν, μητε πολιτων|ἐπιπηνιοσυνη, μητ' εἰς ἀδικους|πραξεις ὁρμων, ἀλλ' ἀθανατου|καθορων φυσεως κοσμον ἀγηρω,|πη τε συνεςη, και ὁπη, και ὁπως,| τοις δε τοιουτοις, οὐδε ποτ' αἰσχρων|ἐργων μελετημα προσιζει.| εἰκοτως οὐν και Πλατων τον των ἰδεων θεωρητικον, Θεον ἐν ἀνθρωποις ζησεσθαι φησι· νους δε, χωρα ἰδεων· νους δε, ὁ Θεος. τον ἀορατου Θεε θεωρητικον, Θεον ἐν ἀνθρωποις ζωντα εἰρηκεν. και ἐν τῳ Σοφιςῃ δε, τον Ελεατην ξενον, Διαλεκτικον ὀντα, ὁ Σωκρατης Θεον ὠνομασεν· οἱους τους Θεους ξεινοισιν ἐοικοτας ἀλλοδαποισιν, ἐπιφοιτωντας τοις ἀςεσιν. ὁτ' ἀν γαρ ψυχη γενεσεως ὑπεξαναβασα, καθ' ἑαυτην γε ᾗ, και ὁμιλῃ τοις εἰδεσιν· οἱος ἐςιν ὁ ἐν τῳ Θεαιτητῳ κορυφαιος· οἱον Αγγελος ἠδη γενομενος, συν Χριςῳ τε ἐςαι, θεωρητικος ὠν, ἀει το βελημα τε Θεου σκοπων, τῳ ὀντι,

Οἱος πεπνυμενος, τοι δ' ὡς σκιαι ἀΐσσεσιν·

νεκροι γαρ τες ἑαυτων θαπτεσι νεκρες. ὁθεν Ιερεμιας λεγει, Πληρωσω αὐτην νεκρων γηγενων, οὑς ἐπαισεν ἡ ὀργη με.

Ο μεν ἐν Θεος, ἀναποδεικτος ὠν, ἐκ ἐςιν ἐπιςημονικος· ὁ δε Υἱος, σοφια τε ἐςι, και ἐπιςημη, και ἀληθεια,

deinde, ut ii, qui possunt salvi fieri, per exempla præparentur admoniti: & tertio, ne is, qui injuria afficitur, contemtui habeatur, & aptus sit ad injuriam accipiendam. Sunt autem duo quoque modi correctionis: unus quidem, docendo: alter vero puniendo, quem etiam castigantem diximus. Sciendum est autem eos qui post lavacrum in peccata incidunt, eos esse, qui castigantur. Quæ enim prius facta sunt, dimissa sunt: quæ autem postea fiunt, expurgantur. De incredulis dictum est, eos esse *reputatos tanquam pulverem, quem projicit ventus a facie terræ; & guttam, quæ a cado excidit.*

XXV. *Beatus est, qui habet scientiæ disciplinam, & neque ad damna civium, neque ad injustas impellitur actiones, sed immortalis naturæ senii expertem intuetur ornatum, quanam ratione, & quo pacto, quove modo constiterit. Iis autem, qui sunt ejusmodi, nunquam turpium factorum insidet meditatio.* Merito ergo Plato quoque eum, *qui ideas contemplatur*, dicit, *victurum esse Deum inter homines: mens autem est locus idearum; mentis vero est Deus.* Eum, qui Deum invisibilem contemplatur, dixit *Deum viventem inter homines.* Porro autem in Sophista quoque Eleatem hospitem, cum esset Dialecticus, Socrates *Deum* nominavit, *quales sunt dii externis hospitibus similes, qui in urbes ventitant. Quando enim anima transcendit generationem, & per se fuerit, & cum formis seu ideis versatur*, qualis est, qui Coryphæus dicitur in Theæteto, is factus tanquam Angelus, erit cum Christo, versabitur in contemplatione, semper Dei voluntatem considerans: revera hic

Solus prudens, isti volitant velut umbræ.

Mortui enim sepeliunt mortuos suos. Unde dicit Hieremias: *Implebo ipsam mortuis terragenitis, quos percussit ira mea.*

Atque Deus quidem, cum demonstrari nequeat, non potest esse scientiæ objectum: Filius autem est & sapien-

θεια, και όσα άλλα τυτῳ συγγενη· και δη και αποδειξιν έχει, και διεξοδον· πασαι δε αί δυναμεις Πνευματος, συλληβδην μεν έν τι πραγμα γενομεναι, συντελυσιν εἰς το αὐτο, τον Υἱον· απαρεμφατος δε ἐςι της περι έκαςης αὐτου των δυναμεων έννοιας. και δη ου γινεται ατεχνως έν ώς έν, ουδε πολλα ώς μερη ὁ Υἱος, αλλ' ώς παντα έν· ένθεν και παντα· κυκλος γαρ ὁ αὐτος παντων των δυναμεων εἰς έν είλουμενων και ενουμενων· δια τυτο Αλφα και Ω ὁ Λογος είρηται· ού μονου το τελος αρχη γινεται, και τελευτα παλιν επι την ανωθεν αρχην, ουδαμου διαςασιν λαβων. διο δη και το εἰς αὐτον και το δι' αὐτου πιςευσαι, μοναδικον εςι γενεσθαι, απερισπαςως ενουμενον εν αὐτῳ· το δε απιςησαι, διςασαι εςι, και διαςηναι, και μερισθηναι. Δια τουτο ταδε λεγει Κυριος· Πας υἱος αλλογενης, απεριτμητος καρδια, και απεριτμητος εςι σαρκι· τυτεςιν, ακαθαρτος σωματι τε και πνευματι· ουκ εἰσελευσεται εἰς τα άγια απο των αλλογενων έν μεσῳ οἰκου Ισραηλ· αλλ' ἡ οἱ Λευιται. αλλογενεις δε είρηκεν, τους μη πιςευσαι βουληθεντας, αλλ' απιςειν εθελοντας. μονοι τοινυν οἱ καθαρως βιουντες, ἱερεις όντως τυ Θευ. δια τυτο πασων περιτεμνουμενων των φυλων, ἁγιωτεραι ελογισθησαν αἱ εἰς αρχιερεις τε και βασιλεις, και προφητας χριυσαι. όθεν μηδε απτεσθαι νεκρων αὐτοις κελευει, μηδ' επεισιεναι κατοιχομενοις· ουχ' ώς μιαρυ τυ σωματος όντος, αλλ' ώς της ἁμαρτιας και απειθειας σαρκικης τε ουσης, και ενσωματυ, και νεκρας, και δια τυτο βδελυκτης. μονῳ ουν πατρι και μητερι, υἱῳ τε και θυγατρι, τελευτησαντι επιτετραπται επεισιεναι τον ἱερεα· ότι συγγενεις ουτοι σαρκος και σπερματος μονοι· παρ' ών την προσεχη αἰτιαν της εἰς

ſapientia, & ſcientia, & veritas, & quæcunque cum hoc ullam habent cognationem. Quinetiam habet demonſtrationem, & vim ratiocinandi. Omnes autem Spiritus poteſtates, cum ſimul una res factæ fuerint, ad idem conferunt, nempe ad Filium. Eſt autem infinitus unaquaque ſuarum poteſtatum notione. Quanquam non ſit vere unum, ut unum, neque multa ut partes Filius, ſed ut omnia unum, unde etiam omnia. Eſt enim idem circulus omnium poteſtatum, quæ in unum circumvolvuntur & uniuntur. Et ideo Logos dictus eſt *Alpha & Omega*, cujus ſolius finis ſit principium, & rurſus deſinit in id, quod eſt antea principium, nuſquam diſtantiam accipiens & dimenſionem. Quamobrem & in ipſum & per ipſum credere, eſt unicum fieri, ſcilicet in ipſo indivulſe unitum: non credere autem, eſt diſcerni, ſpatioque disjungi & dividi. *Propterea hæc dicit Dominus: Omnis filius alienigena eſt incircumciſus corde, & incircumciſus carne*, hoc eſt, immundus & corpore & ſpiritu: *non ingredietur in ſancta ex alienigenis in medio domus Iſrael, præterquam Levitæ. Alienigenas* autem dixit eos, qui noluerunt credere, ſed volunt eſſe increduli. Soli ergo ii, qui puram agunt vitam, vere ſunt Dei ſacerdotes. Ea de cauſa cum omnes tribus circumciderentur, reputatæ ſunt ſanctiores, quæ ungebantur in Pontifices, & Reges, & Prophetas. Unde eis, præcipit, ne tangere quidem mortuos, nec ingredi ad eos, qui obiiſſent: non quod pollutum ſit corpus, ſed quod peccatum & inobedientia ſit carnalis, & in corpore verſetur, ſitque mortua, & ideo abominanda. Ad ſolum ergo patrem & matrem, filiumque & filiam mortuam permiſſum eſt ingredi ſacerdoti, quoniam hi ſoli ſunt cognati carnis & ſeminis, a quibus proximam & continentem cauſam ingreſſus in vitam accepit quoque ſacerdos. Mundantur autem hi quoque ſeptem diebus, per quot dies perficitur ge-

nera-

τον βιον παροδου και ὁ ἱερευς εἰληφως καθαριζονται δι-κα. ὑτοι ἡμεραις ἑπτα, δι᾽ ὁσων ἡ γενεσις τελειουται· τῃ ἑβδομῃ γαρ, ἡ ἀναπαυσις θρησκευεται· τῃ δε ὀγδοῃ ἱλαστηριον προσφερει, ὡς ἐν τῳ Ιεζεκιηλ γεγραπται· καθ᾽ ὃν ἱλασμον το λαβειν ἐστι την ἐπαγγελιαν.

Τελειος δ᾽, οἶμαι, καθαρισμος, ἡ δια Νομου και Προφητων εἰς το Εὐαγγελιον πιστις ἱλεως, και ἡ δι᾽ ὑπακοης πασης ἁγνεια, συν και τῃ ἀποθεσει των κοσμικων εἰς την ἐκ της ἀπολαυσεως της ψυχης εὐχαριστον του σκηνους ἀποδοσιν. εἰτ᾽ οὐν ὁ χρονος εἰη ὁ δια των ἑπτα περιοδων των ἀριθμουμενων εἰς την ἀκροτατην ἀναπαυσιν ἀποκαθιστας· εἰτε ἑπτα οὐρανοι, οὑς τινες ἀριθμουσι κατ᾽ ἐπαναβασιν· εἰτε και ἡ ἀπλανης χωρα, ἡ πλησιαζουσα τῳ νοητῳ κοσμῳ, ὀγδοας λεγοιτο, πλην ἐξαναδυναι γενεσεως τε και ἁμαρτιας χρηναι λεγει τον γνωστικον. ἐπι γ᾽ οὐν ταις ἑπτα ἡμεραις τα ἱερεια ὑπερ ἁμαρτιων θυεται· ἐτι γαρ τροπης εὐλαβεια· και της ἑβδομης ἁπτεται περιφορας. Ιωβ δε ὁ δικαιος, Αὐτος, φησι, γυμνος ἐξηλθον ἐκ κοιλιας μητρος μου, γυμνος και ἀπελευσομαι ἐκει· οὐ κτηματων γυμνος· τουτο μεν γαρ μικρον τε και κοινον· ἀλλ᾽ ὡς δικαιος, γυμνος ἀπεισι κακιας τε και ἁμαρτιας, και του ἑπομενου τοις ἀδικως βιωσασιν ἀειδους εἰδωλου· τουτο γαρ ἠν το εἰρημενον· Εαν μη στραφεντες γενησθε ὡς τα παιδια· καθαροι μεν την σαρκα, ἁγιοι δε την ψυχην, κατα ἀποχην κακων ἐργων, δεικνυντες ὁτι τοιουτους ἡμας εἰναι βουλεται, οἱους και γεγεννηκεν ἐκ μητρας ὑδατος· γενεσις γαρ γενεσιν διαδεχομενη, κατα προκοπην ἀπαθανατιζειν βουλεται· Των δε ἀσεβων ὁ λυχνος σβεσθησεται.

Ναι μην την κατα τε σωμα κατα τε ψυχην ἁγνειαν, ἡν μετεισιν ὁ γνωστικος, ὁ πανσοφος Μωϋσης εὐπρεπως τῃ

ἐπανα-

eratio: septimo enim quies celebratur, octavo au-
em *offert propitiationem*, ut scriptum est in Ezechie-
e, per quam propitiationem accipienda est pro-
missio.

Perfecta est autem, ut existimo, purgatio ac mundatio, quæ per Legem & Prophetas docetur ropitia fides in Evangelium, & quæ est per omnem obedientiam puritas, cum rerum quoque mundanarum depositione, usque ad gratam tabernaculi redditionem a jucundo usu animæ. Sive ergo fuerit tempus, quod per septem, quæ enumerantur, periodos in summam redit quietem: sive septem cœli, quos quidam per ascensum numerant: sive etiam inerrans regio, quæ appropinquat mundo, qui percipitur intelligentia, dicatur octava: dicit tamen oportere Gnosticum ex generatione emergere & ex peccato. Septem itaque diebus sacrificantur hostiæ pro peccatis. Est enim adhuc mutationis metus: qui ad septimum ambitum pertingit. Job autem justus, *Ipse*, inquit, *nudus sum egressus ex utero matris meæ, & nudus illuc revertar:* non nudus a possessionibus, hoc enim est & parvum & commune, sed ut justus recedit nullus a vitio & peccato, & ab informi simulacro, quod eos consequitur, qui injuste vixerunt. Hoc enim fuit, quod dictum est: *Nisi conversi effecti fueritis ut parvuli*, mundi quidem carne, sancti vero anima, per abstinentiam a malis operibus: ostendens quod nos tales esse vult, quales etiam genuit ex matrice aquæ. Generatio enim excipiens generationem, vult immortales reddere per profectum: *Impiorum autem lucerna extinguetur.*

Porro autem castitatem in corpore & anima, quam persequitur Gnosticus, sapientissimus Moses

pulcre

ἐπαναλήψει χρησαμενος, ἐμηνυσεν, το ἀδιαφθορον του τε σωματος της τε ψυχης διαγραφων ἐπι της Ρεβεκκας ὡδι πως· Η δε, παρθενος ἠν καλη· ἀνηρ ουκ ἐγνω αὐτην· Ρεβεκκα δε ἑρμηνευεται Θεου δοξα. Θεου δε δοξα, ἀφθαρσια. αὑτη ἡ τω ὀντι δικαιοσυνη, μη πλεονεκτειν θατερω, ὁλον δε εἰναι ἡγιασμενον των του Κυριου. δικαιοσυνη οὐν ἐστιν εἰρηνη βιου και εὐσταθεια, ἐφ' ἡν ὁ Κυριος ἀπελυε, λεγων, Απελθε εἰς εἰρηνην· Σαλημ γαρ ἑρμηνευεται εἰρηνη ἡς ὁ Σωτηρ ἡμων ἀναγεγραφεται βασιλευς, ὡ φησι Μωϋσης Μελχισεδεκ, βασιλευς Σαλημ, ὁ ἱερευς του Θεου του ὑψιστου, ὁ τον οἰνον και τον ἀρτον την ἡγιασμενην διδους τροφην, εἰς τυπον εὐχαριστιας. και δη ἑρμηνευεται ὁ Μελχισεδεκ, βασιλευς δικαιος· συνωνυμια δε ἐστι δικαιοσυνης και εἰρηνης. Βασιλειδης δε ὑποστατας, δικαιοσυνην δε, και την θυγατερα αὐτης την εἰρηνην, ὑπολαμβανει ἐν ὀγδοαδι μενειν ἐνδιατεταγμενας. Μετιτεον δη ἀπο των φυσικωτερων ἐπι τα προφανεστερα ἠθικα· ὁ γαρ περι ἐκεινων λογος, μετα την ἐν χερσι πραγματειαν ἑψεται. αὐτος οὐν ἡμας ὁ Σωτηρ ἀτεχνως κατα την τραγωδιαν μυσταγωγει,

Ορων ὁρωντας, και διδωσιν ὀργια.

κἀν πυθη,

Ταδε ὀργια ἐστιν' εἰδεαν ἐχεται σοι;

ἀκουση παλιν,

Αρρητ' ἀβακχευτοισιν εἰδεναι βροτοις.

κἀν πολυπραγμονη τις ὁποια εἰη, αὐθις ἀκουσατω,

Οὐ θεμις ἀκουσαι σ', ἐστιν δ' ἀξι' εἰδεναι·
Ασεβειαν ἀσκουντ', ὀργι' ἐχθαιρει Θεου.

Ο Θεος δε ἀναρχος, ἀρχη των ὁλων παντελης, ἀρχης ποιητικος. ἡ μεν οὐν ἐστιν οὐσια, ἀρχη του ποιητικου τοπου·

pulcre epanalepsi, seu repetitione, usus, significavit, corporis & animæ incorruptionem describens in Rebecca hoc modo: *Virgo autem erat pulcra, vir non cognovit ipsam.* Rebecca autem exponitur *Dei gloria.* Dei autem gloria est incorruptio. Hæc est vera justitia, nolle rei alterius plus quam par sit habere, sed totum esse templum Domini sanctificatum. Justitia ergo est vitæ pax & stabilitas ac tranquillitas, ad quam Dominus ablegavit, dicens, *Abi in pacem.* Salem enim *pax* exponitur, cujus noster Servator rex describitur, quem dicit Moses *Melchisedech, rex Salem, sacerdos Dei altissimi,* qui *vinum & panem* sanctificatum dedit nutrimentum, in typum Eucharistiæ. Quinetiam Melchisedech exponitur *rex justus.* Eodem autem nomine gaudent justitia & pax. Basilides autem, qui defecit, Justitiam, & ejus filiam Pacem, existimat manere collocatas in ogdoade. Verum jam transeundum est a naturalioribus ad moralia, quæ sunt apertiora. Quæ enim de illis sunt dicenda, sequentur post eam, quæ est in manibus, tractationem. Vere ergo Servator noster nos mysteriis initiat, convenienter iis, quæ dicit tragœdia:

Videns videntes, ipse donat orgia.

Quod si roges,

Cujusmodi sint ista, quæ dico, orgia?

rursus audies:

Arcana: non bacchantibus scire haud licet.

Quod si quis rursus curiose scrutetur, cujusmodi ea sint, rursus audiat:

Te scire non fas, digna sint scitu licet:
Qui est impius, sunt huic Dei infesta Orgia.

Deus autem expers principii, perfectum universorum principium, principii efficiens: & quatenus qui-

που· καθοσον ἐςιν τἀγαθον, του ἠθικου· ἡ δ' αὖ ἐςι νους, του λογικου και κριτικου τοπου· ὁθεν και διδασκαλος μονος· ὁ μονος ὑψιςου ἁγνου πατρος, ὁ παιδευων τον ἀνθρωπον.

κϛ. Οὐκουν εὐλογως οἱ κατατρεχοντες της πλασεως, και κακιζοντες το σωμα· ου συνορωντες την κατασκευην του ἀνθρωπου ὀρθην προς την ουρανου θεαν γενομενην, και την των αἰσθησεων ὀργανοποιΐαν προς γνωσιν συντεινουσαν, τα τε μελη και μερη προς το καλον, ου προς ἡδονην εὐθετα. ὁθεν ἐπιδεκτικον γινεται της τιμιωτατης τῳ Θεῳ ψυχης το οἰκητηριον τουτο· και Πνευματος ἁγιου καταξιουται, τῳ του Σωτηρος καταρτισμῳ τελειουμενον. και δη ἡ ἀντακολουθια των τριων ἀρετων περι τον ἀνθρωπον εὑρισκεται τον γνωςικον, ἠθικως τε και φυσικως, και λογικως περι το Θειον πραγματευομενον. σοφια μεν γαρ, ἐπιςημη των θειων και των ἀνθρωπινων· δικαιοσυνη δε, συμφωνια των της ψυχης μερων· ὁσιοτης δε, θεραπεια του Θεου.

Εἰ δε τις διαβαλλεσθαι την σαρκα, και δι' αὐτης την γενεσιν φασκοι, παραθεις Ησαΐαν λεγοντα, Πασα σαρξ χορτος, και πασα δοξα ἀνθρωπου ὡς ἀνθος χορτου· ἐξηρανθη ὁ χορτος, και το ἀνθος ἐξεπεσεν· το δε ῥημα Κυριου μενει εἰς τον αἰωνα· ἀκουσατω ἑρμηνευοντος το ζητουμενον δια Ιερεμιου του Πνευματος, Και διεσπειρα αὐτους ὡς φρυγανα πετωμενα ὑπο ἀνεμου εἰς ἐρημον· οὑτος ὁ κληρος και μερις του ἀπειθειν ὑμας, λεγει Κυριος. ὡς ἐπελαθου μου, και ἠλπισας ἐπι ψευδεσι· κἀγω ἀποκαλυψω τα ὀπισω σου ἐπι προσωπον σου· και ὀφθησεται ἡ ἀτιμια σου, μοιχεια σου, και χρεμετισμος σου, και τα ἑξης. τουτο γαρ το ἀνθος του χορτου, και το

κατα

dem eſt eſſentia, eſt principium loci efficientis; quatenus autem eſt bonum, moralis; quatenus autem rurſus eſt mens, ratiocinantis loci & judicantis. Unde etiam ſolus eſt magiſter, qui eſt ſolus altiſſimi caſti patris, qui erudit hominem.

XXVI. Non ergo recte faciunt, qui creaturam inſectantur, & corpus vituperant, non conſiderantes corporis conſtitutionem rectam factam eſſe ad cœlum contemplandum; & organa ſenſuum ſic effecta eſſe, ut tendant ad cognitionem, & membra & partes apte eſſe compoſitas ad honeſtum, non ad voluptatem. Unde ſuſcipit hoc habitaculum animam Deo precioſiſſimam, & Spiritu ſancto dignum cenſetur per animæ & corporis ſanctificationem, ut quod perfectione Servatoris perficiatur. Quinetiam mutua trium virtutum conſequentia invenitur in homine gnoſtico, qui moraliter, naturaliter, & logice circa Deum verſatur. Sapientia enim eſt ſcientia rerum divinarum & humanarum. Juſtitia autem eſt concentus partium animæ. Sanctitas autem eſt Dei cultus.

Si quis autem dicat ſe infamare carnem, & propter ipſam generationem, adducens Eſajam dicentem: *Omnis caro fœnum, & omnis gratia hominis tanquam flos fœni. Exſiccatum eſt fœnum, & flos cecidit, verbum autem Domini manet in æternum:* audiat Spiritum per Hieremiam interpretantem id, quod quæritur: *Et diſperſi ipſos, tanquam paleas, quæ a vento agitatæ volant in ſolitudinem. Hæc eſt ſors & pars veſtræ incredulitatis, dicit Dominus. Sicut oblitus es mei, & ſperaſti in falſis: ego quoque revelabo poſteriora tua ſuper faciem tuam, & videbitur ignominia tua, adulterium tuum, & hinnitus tuus,* & quæ deinceps conſequuntur. Hic

ατα σαρκα περιπατειν, και σαρκικους εἰναι κατα τον ἀποςολον, ἐν ἁμαρτιαις ὀντας. κρειττον μεν τȣ ἀνθρωπου ὡμολογηται ἡ ψυχη, ἡττον δὲ το σωμα· ἀλλ᾽ οὐτε ἀγαθον ἡ ψυχη φυσει, ȣτε αὖ κακον φυσει το σωμα· οὐδὲ μην, ὁ μη ἐςιν ἀγαθον, τουτο εὐθεως κακον. εἰσι γαρ οὐν και μεσοτητες τινες και προηγμενα, και ἀποπροηγμενα ἐν τοις μεσοις. ἐχρην δη οὐν την συνθεσιν του ἀνθρωπου ἐν αἰσθητοις γενομενην, ἐκ διαφορων συνεςαναι ἀλλ᾽ οὐκ ἐξ ἐναντιων, σωματος τε και ψυχης. ἀει τοινυν αἱ ἀγαθαι πραξεις, ὡς ἀμεινους, τῳ κρειττονι τῳ πνευματι κυριῳ προσαπτονται· αἱ δὲ φιληδονοι, και ἁμαρτητικαι, ἡττονι τῳ ἁμαρτητικῳ περιτιθενται. αὐτικα ἡ του σοφου τε και γνωςικου ψυχη, οἱον ἐπιξενουμενη τῳ σωματι, σεμνως αὐτῳ και τιμητικως προσφερεται, ȣ προσπαθως, ὁτον οὐδεπω· ἐαν ὁ καιρος της ἀποδημιας καλῃ, ἀπολειπουσα το σκηνος· Παροικος, φησιν, ἐν τῃ γῃ, και παρεπιδημος ἐγω εἰμι μεθ᾽ ὑμων.

Και ἐντευθεν ξενην την ἐκλογην του κοσμου ὁ Βασιλειδης εἰληφεναι λεγει, ὡς ἀν ὑπερκοσμιον φυσει οὐσαν. το δ᾽ ȣχ οὑτως ἐχει· ἑνος γαρ τα παντα Θεου· και οὐκ ἀν τις εἰη φυσει του κοσμου ξενος· μιας μεν της οὐσιας οὐσης, ἑνος δὲ του Θεου· ἀλλ᾽ ὁ ἐκλεκτος ὡς ξενος πολιτευεται, κτητα τε και ἀποκτητα εἰδως παντα. ὁσα δὲ τριττα εἶναι ἀγαθα οἱ Περιπατητικοι θελουσι, χρηται αὐτοις· ἀλλα και τῳ σωματι, ὡς τις μακραν ςελλομενος ἀποδημιαν, πανδοχειοις και ταις παρ᾽ ὁδον οἰκησεσιν· ἐπιμελȣμενος μεν και κοσμικων, του τοπου ἐνθα καταλυει· ἀπολιπων δὲ την οἰκησιν και την κτησιν, καθαπερ

est enim *flos fœni*, & *secundum carnem ambulare*, & *carnales esse* ex Apostoli sententia, eos, qui sunt in peccatis. Præstantiorem quidem hominis partem esse animam, est extra controversiam, corpus autem deteriorem. Sed neque anima bonum est natura, neque rursus malum natura corpus. Neque vero quod non est bonum hoc est protinus malum: sunt enim quædam, quæ medium locum obtinent, & in mediis sunt *præposita & rejecta*. Oportuit ergo hominem, qui inter sensibilia numeratur, consistere quidem ex diversis, sed non ex contrariis, corpore & anima. Semper ergo bonæ actiones, ut meliores, attribuuntur ei; quod est præstantius, nempe spiritui principali: voluptariæ autem & peccantes, ei, quod est deterius, nempe peccanti spiritui. Jam vero sapientis & Gnostici anima, ut quæ in corpore peregrinetur, eo severe & austere utitur, non in ipsum nimiam affectionem ostendens aut indulgentiam: ut quæ sit e vestigio relictura tabernaculum, si excedendi & migrandi tempus eam vocaverit: *Advena*, inquit, *sum in terra, & peregrina sum ego vobiscum.*

Et hinc hospitem mundi electionem Basilides eam dicit accepisse, ut quæ sit natura supramundana. Hoc autem non ita se habet: unius enim Dei sunt omnia; neque erit aliquis natura mundi hospes, cum sit una quidem essentia, unus autem Deus. Sed electus vitam agit tanquam hospes, sciens omnia esse possidenda, & dein rejicienda: quæcunque autem bona triplicia esse volunt Peripatetici, eis utitur; quinetiam corpore, sicut aliquis qui procul peregre proficiscitur, diversoriis & habitaculis, quæ ei in via occurrunt: curam quidem gerens etiam rerum mundanarum & loci, in quo diversatur: habitationem autem & possessionem, sicut etiam usum, relinquens,

 nulla

και την χρησιν, ἀπροσπαθως, προθυμως τῳ ἀπαιτουντι του βιου συνεπομενος, οὐδαμως ὀπισω κατ' οὐδεμιαν ἀφορμην ἐπιστρεφομενος· εὐχαριστησας μεν ἐπι τῃ παροικιᾳ, εὐλογων δε ἐπι τῃ ἐξοδῳ, την μονην ἀσπαζομενος την ἐν οὐρανῳ. Οἰδαμεν γαρ, ὁτι ἐαν ἡ ἐπιγειος ἡμων οἰκια του σκηνους καταλυθῃ, οἰκοδομην ἐκ Θεου ἐχομεν, οἰκιαν ἀχειροποιητον αἰωνιον ἐν τοις οὐρανοις. και γαρ ἐν τουτῳ στεναζομεν, το οἰκητηριον ἡμων το ἐξ οὐρανου ἐπενδυσασθαι ἐπιποθουντες· εἰγε και ἐνδυσαμενοι, οὐ γυμνοι εὑρεθησομεθα· δια πιστεως γαρ περιπατουμεν, οὐ δια εἰδους, ὡς ὁ Ἀποστολος φησιν. εὐδοκουμεν δε μαλλον ἐκδημησαι ἐκ του σωματος, και ἐνδημησαι προς τον Θεον. ἐν συγκρισει δε το μαλλον· ἡ δε συγκρισις ἐπι των καθ' ὁμοιωσιν ὑποπιπτοντων· ὡς ὁ ἀνδρειοτερος, ἀνδρειων ἀνδρειοτερος, δειλων δε ἀνδρειοτατος. ὁθεν ἐπηγαγεν, Διο φιλοτιμουμεθα, εἰτε ἐκδημουντες εἰτε ἐνδημουντες, εὐαρεστοι εἰναι αὐτῳ, τῳ ἑνι δηλονοτι Θεῳ, οὗ τα παντα ἐργον τε και κτισις, ὁ τε κοσμος και τα ὑπερκοσμια. ἀγαμαι τον Ἐπιχαρμον, σαφως λεγοντα· Εὐσεβης νῳ πεφυκως, οὐ παθοις γ' οὐδεν κακον κατθανων· ἀνω το πνευμα διαμενει κατ' οὐρανον· και τον μελοποιον ἀδοντα· Ψυχαι δ' ἀσεβων ὑπουρανιοι γαιᾳ πωτωνται ἐν ἀλγεσι φονιοις, ὑπο ζευγλαις ἀφυκτοις κακων· εὐσεβων δε ἐπουρανιοι ναουσι μολπαις μακαρα, μεγαν ἀειδουσ' ἐν ὑμνοις. οὐκουν οὐρανοθεν καταπεμπεται δευρο ἐπι τα ἡττω ψυχη· ὁ Θεος γαρ ἐπι τα ἀμεινω παντα ἐργαζεται· ἀλλ' ἡ τον ἀριστον ἑλομενη βιον ἐκ Θεου και δικαιοσυνης, γης οὐρανον ἀνταλλασσεται.

Εἰκοτως οὐν γνωσεως ἐπιβολος ὁ Ἰωβ γενομενος, Νυν οἰδα, εἰπεν, ὁτι παντα δυνασαι· ἀδυνατει δε σοι οὐθεν. τις γαρ ἀπαγγελλει μοι ἁ οὐκ ᾐδειν, μεγαλα και θαυμαστα, ἁ οὐκ ἠπισταμην; ἐγω δε ἐφαυλισα ἐμαυτον, ἡγησαμενος ἐμαυτον εἰναι γην και σποδον. ὁ γαρ ἐν

nulla motus perturbatione: prompto & alacri animo eum ſequens, qui e vita abducit, nulla occaſione ſe unquam retro convertens: ob incolatum quidem agens gratias, benedicens autem propter exitum, cœleſtem amplectens manſionem. *Scimus enim, quod ſi terrena noſtra habitatio tabernaculi diſſoluta fuerit, ædificium a Deo habemus, domum non manu factam æternam in cœlis. Etenim in hoc ingemiſcimus, habitaculum noſtrum, quod eſt ex cœlo, ſuperindui cupientes; ſiquidem etiam induti, non nudi inveniemur. Per fidem enim ambulamus, non per ſpeciem*, ut ait Apoſtolus. *Magis autem volumus peregrinari a corpore, & apud Deum verſari*. *Magis*, autem eſt in comparatione: comparatio autem eſt in iis, quæ cadunt in ſimilitudinem: ut fortior fortibus fortior, timidorum autem fortiſſimus. Unde ſubjunxit: *Quamobrem contendimus, ſive peregrinantes, ſive apud eum verſantes, ei placere*, uni ſcilicet Deo, cujus omnia ſunt opus & creatura, & mundus, & ſupermundana. Admiror Epicharmum, qui aperte dicit: *Si fueris mente pius, nihil mali patieris mortuus. Superius manet in cœlo ſpiritus.* Et poetam Lyricum canentem: *Impiorum autem animæ ſub cœlo volant in cruentis doloribus, ſub malorum jugis inevitabilibus: piorum autem, in cœlis habitant, cantibus beatorum principem canentes in hymnis.* Non ergo huc de cœlis anima ad ea, quæ ſunt deteriora, demittitur. Deus enim refert omnia ad meliora: ſed ea, quæ vitam elegit optimam ex Deo & juſtitia, cœlum terra commutat.

Merito ergo Job, qui pervenit ad cognitionem, *Nunc*, inquit, *ſcio, quod omnia potes; nihil eſt autem, quod tu non poſſis. Quis enim annunciat mihi quæ non noveram, magna & admirabilia quæ neſciebam? Ego autem meipſum vilipendi, exiſtimans meipſum eſſe terram &*

ἄγνοια ὤν, ἁμαρτητικος τε ἐςι, και γη και σποδος· ὁ δ᾽ ἐν γνωσει καθεςως, ἐξομοιϐμενος Θεω εἰς ὁσον δυναται, ἠδη πνευματικος, και δια τϐτο ἐκλεκτος. Οτι δε τϐς ἀνοητϐς και ἀπειθεις, γην καλει ἡ Γραφη, σαφες ποιησει Ιερεμιας ὁ προφητης κατα Ιωακειμ και των ἀδελφων αὐτϐ λεγων, Γη γη, ἀκϐε λογον Κυριϐ· γραψον τον ἀνδρα τϐτον, ἐκκηρυκτον ἀνθρωπον. ἀλλος δ᾽ αὖ προφητης φησιν, Ακϐε οὐρανε, και ἐνωτιζου γη· την συνεσιν, ἀκοην εἰπων· και οὐρανον την του γνωςικου ψυχην, την του οὐρανου και των θειων θειαν ἐπαιηρημενου· και ταυτη Ισραηλιτην γεγονεναι· ἐμπαλιν γαρ αὐτον ἐλομενον την ἀμαθιαν και την σκληροκαρδιαν, γην εἰρηκεν· και το Ενωτιζου, ἀπο των ὀργανων της ἀκοης, των ὠτων, προσηγορευσεν· τα σαρκικα τοις προσανεχουσι τοις αἰσθητοις ἀπονειμας. οὑτοι εἰσι περι ὧν Μιχαιας ὁ προφητης λεγει, Ακουσατε, λαοι, λογον Κυριου, οἱ συνοικουντες ὀδυναις. και ὁ Αβρααμ· Μηδαμως εἰπεν Κυριος ὁ κρινων την γην· ἐπει ὁ ἀπιςησας, κατα την σωτηριον φωνην, ἠδη κεκριται· γεγραπται δε κἀν ταις Βασιλειαις ἡ κρισις και ἡ ἀποφασις του Κυριου ὡδε ἐχουσα· Δικαιων εἰσακουει ὁ Θεος· ἀσεβεις δε οὐ σωζει· παρα το μη βουλεσθαι εἰδεναι αὐτους τον Θεον· ἀτοπα γαρ οὐ συντελεσει ὁ παντοκρατωρ.

Τι προς ταυτην ἐτι φθεγγονται την φωνην αἱ αἱρεσεις, ἀγαθον Θεον τον παντοκρατορα κηρυττουσης της Γραφης, και ἀναιτιον κακιας τε και ἀδικιας εἰγε ἡ μεν ἀγνοια, δια το μη γινωσκειν φυεται· ὁ Θεος δε, οὐδεν ἀτοπον ποιει. Οὑτος γαρ ἐςι, φησιν, ὁ Θεος ἡμων, και οὐκ ἐςι πλην αὐτου σωζων. Οὐδε γαρ ἐςιν ἀδικια παρα τῳ Θεῳ, κατα τον Αποςολον. σαφως δε ἐτι ὁ προφητης την βουλην του Θεου, και την προκοπην την γνωςικην δια τουτων διδασκει· Και νυν, Ισραηλ, τι Κυ-

ριος

inerem. Nam qui eſt in ignoratione, eſt peccato
ıbnoxius, & *terra & cinis:* qui autem ad cognitio-
em pervenit, Deo quantum poteſt aſſimilatus, jam
ſt ſpiritalis, & ideo electus. Quod autem amentes
t inobedientes *terram* vocet Scriptura, planum fa-
iet Hieremias propheta, de Joachim & ejus fratri-
us dicens: *Terra, terra, audi verbum Domini, ſcribe
irum hunc, hominem abdicatum.* Alius autem rurſus
ropheta dicit, *Audi cœlum, & auſculta terra: audi-
um* appellans intelligentiam, & *cœlum* animam Gno-
:ici, qui cœli & rerum divinarum ſuſcepit contem-
lationem, & ea ratione factus eſt Iſraelita. Con-
:a enim eum, qui elegerat inſcitiam & cordis duri-
.em, *terram* dixit. Et illud, *Auſculta*, dixit ab au-
.bus, quæ ſunt inſtrumenta auditus, carnalia attri-
uens iis, qui rebus attendunt ſenſilibus. Hi ſunt,
e quibus dicit Michæas propheta: *Audite, populi,
erbum Domini, qui cohabitatis ſimul cum doloribus.* Et
ıbraham: *Nequaquam, dixit Dominus, qui judicat
:rram.* Nam *qui non credidit*, convenienter ſalutari
oci, *jam judicatus eſt.* Scriptum eſt autem in li-
ris quoque Regum judicium & ſententia Domini,
uæ ſic habet: *Juſtos exaudit Deus, impios autem
on ſervat, eo quod ipſi nolint noſſe Deum. Abſurda
ıim non faciet Omnipotens.*

Quid ad hanc vocem adhuc dicunt hæreſes, cum
mnipotentem Deum eſſe bonum prædicet Scriptu-
ı, & vitii & injuſtitiæ minime eſſe auctorem? ſi-
uidem ignorantia quidem propterea oritur, quod
liquis non cognoſcat, Deus autem *nihil facit abſur-
um. Hic eſt enim*, inquit, *Deus noſter, & non eſt
ræter eum, qui ſervet. Non eſt enim apud Deum inju-
itia*, ex ſententia Apoſtoli. Aperte autem adhuc
ropheta Dei conſilium, & cognitionis profectum

ρίας ὁ Θεός σου αἰτεῖται παρὰ σοῦ, ἀλλ' ἢ φοβεῖσθαι Κύριον τὸν Θεόν σου, καὶ πορεύεσθαι ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ, καὶ ἀγαπᾷν αὐτὸν, καὶ λατρεύειν αὐτῷ μόνῳ αἰτοῦντα παρὰ σοῦ, τοῦ τὴν ἐξουσίαν ἔχοντος ἐλέσθαι τὴν σωτηρίαν. τί τοίνυν αἱ Πυθαγόρειοι βουλόμενοι μετὰ φωνῆς εὔχεσθαι κελεύουσιν; ἐμοὶ δοκεῖ, οὐχ ὅτι τὸ Θεῖον ᾤοντο μὴ δύνασθαι τῶν ἡσυχῇ φθεγγομένων ἐπαΐειν, ἀλλ' ὅτι δικαίας ἐβούλοντο εἶναι τὰς εὐχὰς, ἃς οὐκ ἄν τις αἰδεσθείη ποιεῖσθαι, πολλῶν συνειδότων. ἡμεῖς δὲ, περὶ μὲν τῆς εὐχῆς κατὰ καιρὸν προϊόντος τοῦ λόγου διαληψόμεθα· τὰ δὲ ἔργα κεκραγότα ἔχειν ὀφείλομεν, ὡς ἐν ἡμέρᾳ περιπατοῦντες. λαμψάτω γάρ σου τὰ ἔργα· καὶ ἰδοὺ ἄνθρωπος καὶ τὰ ἔργα αὐτοῦ πρὸ προσώπου αὐτοῦ. ἰδοὺ γὰρ ὁ Θεὸς, καὶ τὰ ἔργα αὐτοῦ. Θεὸν χρὴ μιμεῖσθαι, εἰς ὅσον δύναμις, τῷ γνωστικῷ:

Ἐμοὶ δὲ καὶ οἱ ποιηταὶ τοὺς ἐκλεκτοὺς παρὰ σφίσι θεοειδέας προσαγορεύειν δοκοῦσι, καὶ δίους, καὶ ἀντιθέους, καὶ Διῒ μῆτιν ἀταλάντους, καὶ θεοῖς ἐναλίγκια μήδε' ἔχοντας, καὶ θεοείκελους, τὸ κατ' εἰκόνα καὶ ὁμοίωσιν περιτρώγοντες. ὁ μὲν οὖν Εὐριπίδης, Χρύσεαι δέ μοι πτέρυγες περὶ νώτῳ, φησὶ, καὶ τὰ Σειρήνων ἐρόεντα πέδιλα ἁρμόζεται· βάσομαι τ' ἐς αἰθέρα πολὺν ἀερθεὶς, Ζηνὶ προσμίξων. ἐγὼ δὲ ἂν εὐξαίμην τὸ πνεῦμα τοῦ Χριστοῦ πτερῶσαί με εἰς τὴν Ἱερουσαλὴμ τὴν ἐμήν· λέγουσι γὰρ καὶ οἱ Στωϊκοὶ, τὸν μὲν οὐρανὸν κυρίως πόλιν· τὰ δὲ ἐπὶ γῆς ἐνταῦθα οὐκ ἔτι πόλεις· λέγεσθαι μὲν γὰρ, οὐκ εἶναι δέ· σπουδαῖον γὰρ ἡ πόλις, καὶ ὁ δῆμος ἀστεῖόν

τι

per hæc docet: *Et nunc, Israel, quid Dominus Deus tuus a te petit, nisi ut timeas Dominum Deum tuum, & ambules in omnibus viis ejus? Ut & eum diligas, & illi soli servias*, petit a te, qui habes potestatem eligendæ salutis. Quid ergo sibi volunt Pythagorei, cum jubent *cum voce precari*? non quod, ut mihi quidem videtur, existimarent Deum non posse exaudire eos, qui tacite loquuntur, sed quod justas vellent esse preces, quas non vereatur quis ita fundere, ut multi sint conscii. Nos autem de precatione quidem, paulo post suo tempore tractabimus. Debemus autem habere opera clamantia, *tanquam in die ambulantes. Luceant enim opera tua. Et ecce homo, & opera ejus ante faciem ejus. Ecce enim Deus, & opera ejus.* Deum oportet imitari, quoad fieri potest, eum, qui est Gnosticus.

Mihi autem videntur poetæ quoque electos appellare *Deiformes*, & *dios*, & *Deo æquales*, & *consilio Jovi pares*, & *quorum similis prudentia divis*, & *Deo similes*, illud, *Ad imaginem & similitudinem*, quasi arrodentes. Euripides itaque, *In meo*, inquit, *tergo sunt pennæ aureæ, & aptantur grata Sirenum talaria, iboque in immensum sublatus æthera, Jovem conventurus.* Ego autem Christi spiritum oraverim, ut me in meam sustollat Hierusalem. Dicunt enim Stoici quoque, cœlum quidem proprie esse civitatem, quæ autem sunt hic in terra, non esse civitates: dici enim, sed non esse. Res enim bona est civitas, & populus,

τι συστημα, και πληθος ανθρωπων υπο νομου διοικουμενον, καθαπερ ἡ Ἐκκλησια ὑπο Λογου, ἀπολιορκητος ἀτυραννητος πολις ἐπι γης· Θελημα Θειον ἐπι γης, ὡς ἐν οὐρανῳ. εἰκονας τησδε της πολεως και οἱ ποιηται κτιζουσι γραφοντες· αἱ γαρ Ὑπερβοριοι και Αριμασπιοι πολεις, και τα Ηλυσια πεδια, δικαιων πολιτευματα· ἰσμεν δε και Πλατωνος πολιν, παραδειγμα ἐν οὐρανῳ κειμενην.

lus, honestus aliquis cœtus, & multitudo hominum, quæ regitur lege, sicut Logo Ecclesia: quæ est civitas, quæ non potest circumsideri, nec opprimi tyrannide; in terra divina voluntas, sicut in cœlo. Hujus autem civitatis imagines poetæ quoque condunt in suis scriptis: Hyperboreæ enim & Arimaspiæ civitates, & campi Elysii, sunt respublicæ justorum. Scimus autem Platonis quoque *civitatem esse propositam in cœlo ut exemplar*.

